ΑΙΛΙΑΝΟΥ

ΠΕΡΙ

ΖΩΩΝ ΙΔΙΟΤΗΤΟΣ

ΒΙΒΛΙΑ ΙΖ'.

AELIANI

DE

NATVRA ANIMALIVM

LIBRI XVII.

PARS ALTERA.

AELIANI
DE
NATVRA ANIMALIVM
LIBER XI.

CAPVT I.

De Cycnis ex Rhipaeis montibus advolantibus ad Apollinis templum, quod eſt apud Hyperboreos.

HYPERBOREORVM gentem, et Apollinis apud eos honores, non modo poetae, ſed alii etiam ſcriptores celebrant; et inter alios Hecataeus, non Mileſius ille, ſed Abderita. Is cum et alia quaedam, nec pauca nec vilia, referat, quae in praeſentia recitari nihil attinet; ea in aliud tempus differentur, quo et mihi narrare jucundius, et aliis forſan audire ſit commodius: quae vero praeſentis ſunt inſtituti, ea nunc ſolum exponam. Apollini igitur ſacri ſunt Boreae et Chionis filii, tres numero fratres, ſex cubitorum proceritate. Hi cum ſolenne ſacrificium ſtato et praefinito tempore peragunt, innumera cycnorum examina e Rhipaeis, ut ipſi appellant, montibus advolant; qui ubi templum volando circumvecti fuerint, et veluti luſtrarint, in ſeptum templi deſcendunt, quod et ſpatio ampliſſimum eſt, et ſpecie pulcherrimum. Cum autem cantores vernaculo muſicae genere deum celebrant, et ſimul cithariſtae ſuaviſſimam melodiam

ΑΙΛΙΑΝΟΥ

ΠΕΡΙ
ΖΩΩΝ ΙΔΙΟΤΗΤΟΣ

ΒΙΒΛΙΟΝ ΙΑ΄.

ΚΕΦΑΛΑΙΟΝ α΄.

Περὶ τῶν Κύκνων τῶν ἀφικνουμένων ἐκ τῶν Ῥιπαίων ὀρῶν εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερὸν, τὸ ἐν τοῖς Ὑπερβορείοις.

ΑΝΘΡΩΠΩΝ Ὑπερβορέων γένος, καὶ τιμὰς Ἀπόλλωνος τὰς ἐκεῖθι, ᾄδουσι μὲν καὶ ποιηταὶ, ὑμνοῦσι δὲ καὶ συγγραφεῖς· ἐν δὲ τοῖς καὶ Ἑκαταῖος, οὐ Μιλήσιος, ἀλλ' ὁ Ἀβδηρίτης. Ἃ δὲ λέγει πολλά τε καὶ σεμνὰ ἕτερα, οὔ μοι νῦν ἡ χρεία παρακαλεῖν δοκεῖ αὐτά· καὶ οὖν καὶ εἰς ἄλλον ὑπερθήσομαι χρόνον ἕκαστα εἰπεῖν, ἡνίκα ἐμοί τε ἥδιον, καὶ τοῖς ἀκούουσι λῷον ἔσται· ἃ δέ μοι μόνα ἥδε ἡ συγγραφὴ παραβάλλει, καὶ δεῖ λέγειν ταῦτα. Ἱεροί εἰσι τῷδε τῷ δαίμονι Βορέου καὶ Χιόνος υἱέες τρεῖς τὸν ἀριθμὸν, ἀδελφοὶ τὴν φύσιν, ἑξαπήχεις τὸ μῆκος. Ὅταν οὖν οὗτοι τὴν νενομισμένην ἱερουργίαν κατὰ τὸν συνήθη καιρὸν τὸν προειρημένον ἐπιτελῶσιν, ἐκ τῶν Ῥιπαίων, οὕτω καλουμένων παρ' αὐτοῖς, ὀρῶν καταπέτανται κύκνων ἀμήχανα τῷ πλήθει τὰ νέφη· καὶ περιελθόντες τὸν νεὼν, καὶ οἱονεὶ καθήραντες αὐτὸν τῇ πτήσει, εἶτα μέντοι κατίασιν εἰς τὸν τοῦ νεὼ περίβολον, μέγιστόν τε μέγεθος, καὶ τὸ κάλλος ὡραιότατον ὄντα. Ὅταν οὖν οἵτε ᾠδοὶ τῇ σφετέρᾳ μέσῃ τῷ θεῷ προσᾴδωσι, καὶ μέντοι καὶ οἱ κιθαρισταὶ συγκεκράγωσι τῷ

melodiam cantantium choro adſonant: cycni etiam ipſis concinne accinunt, nec uſquam abſona aut inepta voce aberrant; ſed tanquam incitamentum et auſpicium cantus a chorodidaſcalo editum ſecuti, peritiſſimis carminum ſacrorum decantatoribus concinunt. Hymno jam perfecto, volucris ille chorus, ut ita dicam, recedit, poſtquam ſolito ſibi dei celebrandi munere eſt defunctus, ac divinos honores per totum audivit diem, ſimulque et ipſe cantavit, et oblectavit alios.

CAP. II.

De ſacris Draconibus in Epiro.

EPIROTAE etiam tum ipſi, tum peregrini quotquot adſunt, Apollini ſacrificant, et unum quotannis diem feſtum in ejus honorem perquam magnifice agitant. Lucus apud eos deo ſacer eſt, et muro ſeptus, intra quem dracones ſunt, deo grati. Huc virgo ſacerdos nuda accedit ſola, et victum draconibus porrigit. Eos Epirotae a Pythone Delphico prognatos aiunt. Quod ſi virginem accedentem illi placide adſpexerint, et alimenta prompte ſuſceperint, annum fertilem et ſalubrem ſignificare creduntur; ſin et terribiles erga illam fuerint, et porrecta cibaria non acceperint, contrarium anni futurum ſtatum alii divinant, alii ſuſpicantur.

CAP. III.

De Canibus Aetnaeis.

IN Aetna Siciliae ſacra eſt Vulcani aedes, et circa eam muri et arbores ſacrae; ibidem ignis perpetuus et inextinctus adſervatur. Sunt et canes in templo lucoque ſacri, qui modeſte ac decenter in templum et lucum accedentes blande et adulantes exci-

χορῷ παναρμόνιον μέλος· ἐνταῦθά τοι ϗ οἱ κύκνοι συναναμέλπουσιν ὁμοῤῥοθοῦντες, ϗ οὐδαμῶς οὐδαμῇ ἀπηχὲς ϗ ἀπῳδὸν ἐκεῖνοι μελῳδοῦντες· ἀλλ' ὥσπερουν ἐκ τοῦ χορολέκτου τὸ ἐνδόσιμον λαβόντες, ϗ τοῖς σοφισταῖς τῶν ἱερῶν μελῶν τοῖς ἐπιχωρίοις συνᾴσαντες. Εἶτα, τοῦ ὕμνου τελεσθέντος, οἵδε ἀναχωροῦσι τῇ πρὸς τὸν δαίμονα τιμῇ τὰ εἰθισμένα λατρεύσαντες, ϗ ἀκούοντες τῶν θεῶν ἀνὰ πᾶσαν τὴν ἡμέραν οἱ προειρημένοι, ὡς εἰπεῖν, χορευταὶ πτηνοὶ τέρψαντές τε ἅμα ϗ ᾄσαντες.

ΚΕΦ. β'.

Περὶ τῶν ἐν τῇ καλουμένῃ Ἠπείρῳ δρακόντων ἱερῶν.

ΘΥουσί τε ϗ ἄλλως οἱ Ἠπειρῶται τῷ Ἀπόλλωνι, ϗ αὐτοί, ϗ πᾶν ὅσον τῶν ξένων ἐπίδημόν ἐστι θύουσι, ϗ τούτῳ ἤδη τὴν μεγίστην ἑορτὴν ἄγουσι μιᾶς ἡμέρας τοῦ ἔτους σεμνήν τε ϗ μεγαλοπρεπῆ. Ἔστι δὲ ἄνετον τῷ θεῷ ἄλσος, ϗ ἔχει κύκλῳ περίβολον, ϗ ἔνδον εἰσὶ κύκλῳ δράκοντες, τοῦ θεοῦ ἄθυρμα οὗτοί γε. Ἡ τοίνυν ἱέρεια γυμνὴ παρθένος πάρεισι μόνη, ϗ τροφὴν τοῖς δράκουσι κομίζει. Λέγονται δὲ ἄρα ὑπὸ τῶν Ἠπειρωτῶν ἔκγονοι τοῦ ἐν Δελφοῖς Πύθωνος εἶναι. Ἐὰν μὲν οὖν οὗτοι παρελθοῦσαν τὴν ἱέρειαν προσηνῶς θεάσωνται, ϗ τὰς τροφὰς προθύμως λάβωσιν, εὐθηνίαν τε ὑποδηλοῦν ὁμολογοῦνται, ϗ ἔτος ἄνοσον· ἐὰν δὲ ἐκπλήξωσι μὲν αὐτήν, μὴ λάβωσι δὲ ὅσα ὀρέγει μειλίγματα, τἀναντία τῶν προειρημένων οἱ μὲν μαντεύονται, οἱ δὲ ἐλπίζουσι.

ΚΕΦ. γ'.

Περὶ τῶν ἐν τῇ Αἴτνῃ Κυνῶν.

ΕΝ Αἴτνῃ δὲ ἄρα τῇ Σικελικῇ Ἡφαίστου τιμᾶται νεώς, ϗ ἔστι περίβολα, ϗ δένδρα ἱερά, ϗ πῦρ ἄσβεστόν τε ϗ ἀκοίμητον. Εἰσὶ δὲ ϗ κύνες περί τε τὸν νεὼν ϗ τὸ ἄλσος ἱεροί, ϗ τοὺς μὲν σωφρόνως, ϗ ὡς πρέπει τε ἅμα ϗ χρή,

3

παρι-

excipiunt, et, tanquam familiaribus, illis ſe benignos oſtendunt; at ſi quis ſceleratus aut manibus impurus adeat, illum et mordent et laniant; illos vero, qui libidine aliqua turpi ſe contaminarint, fugant ſolum et perſequuntur.

C A P. IV.

De Bobus, qui in Chthonio feſto Cereri ſacrificantur.

CEREREM Hermionenſes colunt, et ſplendida ei magnificaque ſacra faciunt: feſtum id Chthonium appellant. Audio ſane maximos boves a muliere, Cereris ſacerdote, ad aram e grege ſe abduci atque mactari permittere. Haec autem teſtimonio comprobat Ariſtocles, qui canit:

O foecunda Ceres, Siculas veneranda per oras,
Cecropioſque agros! hoc ego praecipue
Miror, in Hermione quod magno robore taurum,
Quemque viri poſſent vix domuiſſe decem,
E grege deductum ſola aure adducit ad aram
Sancta tibi mulier; qui puer ut ſequitur.
Haec tua vis, Ceres, eſt; tu nobis eſto benigna,
Per teque Hermione laeta beata fuat.

C A P. V.

De Canibus in Daulia Graecorum amantibus.

IN Daulia regione celebre eſt Iliadis Minervae templum; ejus loci canes Graecis adventantibus adulari, barbaros allatrare, praedicant.

παριόντας εἰς τὸν νεὼν καὶ τὸ ἄλσος οἵδε σαίνουσι καὶ αἰκάλλουσι, οἷα δὴ φιλόφροσιν ἐνούμενοί τε καὶ γνωρίζοντες δήπου· ἐὰν δέ τις ᾖ χεῖρας ἐναγὴς, τοῦτον μὲν καὶ δάκνουσι καὶ ἀμύσσουσι· τοὺς δὲ ἄλλους, ἔκ τινος ὁμιλίας ἥκοντας ἀκολάστου, μόνον διώκουσι.

ΚΕΦ. δʹ.

Περὶ τῶν Βοῶν τῶν τῇ Δήμητρι θυομένων ἐν τοῖς καλουμένοις Χθονίοις.

ΤΗΝ Δήμητρα Ἑρμιονεῖς σέβουσι, καὶ θύουσιν αὐτῇ μεγαλοπρεπῶς τε καὶ σοβαρῶς· καὶ τὴν ἑορτὴν Χθονίαν καλοῦσι. Μεγίστας οὖν ἀκούω βοῦς ὑπὸ τῆς ἱερείας τῆς Δήμητρος ἄγεσθαί τε πρὸς τὸν βωμὸν ἐκ τῆς ἀγέλης, καὶ θύειν ἑαυτὰς παρέχειν. Καὶ οἷς λέγω μάρτυς Ἀριστοκλῆς, ὅς που φησί·

Δάματερ πολύκαρπε, σὺ κὴν Σικελοῖσιν ἐναργὴς,
Καὶ παρ' Ἐρεχθείδαις· ἐν δέ τι . . . . μέγα
Κρίνετ' ἐν Ἑρμιονεῦσι, τὸν ἐξ ἀγέλης γὰρ ἀφειδῆ
Ταῦρον, ὃν οὐκ αἴρουσ' ἀνέρες οὐδὲ δέκα,
Τοῦτον γραῦς στείχουσα μόνη μόνον οὔατος ἕλκει
Τόν δ' ἐπὶ βωμόν· ὁ δ' ὡς ματέρι παῖς ἕπεται.
Σὸν τόδε, Δάματερ, σὸν τὸ σθένος· ἵλαος εἴης,
Καὶ πάντων θάλλοι κλᾶρος ἐν Ἑρμιόνῃ.

ΚΕΦ. εʹ.

Περὶ τῶν Φιλελλήνων Κυνῶν τῶν ἐν Δαυλίᾳ.

ΕΝ γῇ τῇ Δαυλίᾳ νεὼν μὲν εἶναι τῆς Ἀθηνᾶς τῆς Ἰλιάδος ᾄδουσιν· τοὺς δὲ ἐνταυθοῖ κύνας τρεφομένους ὑμνοῦσι τῶν μὲν Ἑλλήνων τοὺς ἀφικνουμένους σαίνειν, ὑλακτεῖν δὲ τοὺς βαρβάρους.

CAP. VI.

De templo Panis in Arcadia; et Animalibus, quae istuc confugiunt.

IN Arcadia locus est, Aula nomine, et in eo delubrum Panis. Ad id quaecunque animantes confugerint, deus veluti supplices miseratus suscipit, et incolumem earum vitam tuetur. Itaque lupi etiam, si quae animalia eo usque forte fuerint persequuti, intrare non audent, et solo loci, in quem illae confugerunt, adspectu territi recedunt. Ita etiam animalibus istius loci peculiaris est salutis causa.

CAP. VII.

De Cervis in Curidio.

IN Curidio magna cervorum copia est, de quibus capiendis multi venatores spem sibi faciunt inanem. Hi cum in lucum, qui ingens illic Apollini sacer est, confugerint, latrant quidem canes, sed propius accedere non audent; cervi vero quieti, et sui custodiam deo curae futuram ineffabili quadam naturae vi certo persuasi, pascuis sine metu libere fruuntur.

CAP. VIII.

De Muscis accedentibus ad festum, quod Actio Apollini celebratur.

MUSCAS Olympia tempore festo sua sponte discedere, et, ut ita dicam, una cum mulieribus in ulteriorem Alphei ripam trajicere, jam supra memoravi. Ceterum in Leucade [insula] promontorium est excelsum, in quo templum Apollinis, quem Actium venerantes cognominant, constructum est. Cum igitur

ΚΕΦ. ϛʹ.

Περὶ τῆς ἐν Ἀρκαδίᾳ Πανὸς αὐλῆς, ϗ τῶν ἐκεῖ καταφευγόντων Ζώων.

ΕΝ Ἀρκαδίᾳ δὲ χώρᾳ ἐστὶν ἱερὸν Πανὸς, Αὐλὴ δὲ τῷ χώρῳ τὸ ὄνομα. Οὐκοῦν ὅσα ἂν ἐνταυθοῖ τῶν ζώων καταφύγοι, ὥσπερ οὖν ἱκέτας ὁ θεὸς δι' αἰδοῦς ἄγων τὰ ζῶα, εἶτα μέντοι σώζει τὴν μεγίστην σωτηρίαν. Αὐτὰ γάρ τοι λύκοι οἱ διώκοντες παρελθεῖν εἴσω πεφρίκασι, ϗ ἀναστέλλονται μόνον θεασάμενοι, οὗ καταπέφευγεν. Ἴδια δὲ ϗ τούτων τῶν ζώων ἔφυ πρὸς σωτηρίαν ἀγαθά.

ΚΕΦ. ζʹ.

Περὶ τῶν ἐν Κουριδίῳ ἐλάφων.

ΕΝ Κουριδίῳ αἱ ἔλαφοι (πλῆθος δὲ ἄρα τούτων τῶν θηρίων ἐνταῦθά ἐστι, ϗ πολλοὶ θηραταὶ περὶ τὴν ἄγραν αὐτῶν ἠνέμωνται) ὅταν καταφύγωσιν εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερὸν τὸ ἐνταυθοῖ τιμήσιον, ἔστι δὲ ἄλσος μέγιστον, ὑλακτοῦσι μὲν οἱ κύνες, πλησίον δὲ ἐλθεῖν οὐχ ὑπομένουσιν· αἱ δὲ ἐνστᾶσαι νέμονται ἄτρεστον ϗ ἀδεῆ τὴν νομὴν, ἀπορρήτῳ τινὶ φύσει τὴν ὑπὲρ τῆς αὐτῶν σωτηρίας τῷ θεῷ πιστεύουσαι αἱ ἔλαφοι.

ΚΕΦ. ηʹ.

Περὶ τῶν Μυῶν τῶν ἐν τῇ πανηγύρει, ἣν ἐν Ἀκτίῳ ἄγουσι τῷ Ἀπόλλωνι.

ΑΝΩ που λέλεκταί μοι τὰς μυίας τὰς ἐν Ὀλυμπίᾳ τῇ τῆς πανηγύρεως ἐπιδημίᾳ ἑκούσας ἀφίστασθαι, ϗ ὡς ἂν εἴποι τις, μετὰ τῶν γυναικῶν ἐπὶ τὴν ἀντιπέραν ὄχθην τοῦ Ἀλφειοῦ ἀπιέναι. Ἐν δὲ τῇ Λευκάδι ἄκρα μέν ἐστιν ὑψηλὴ, νεὼς δὲ Ἀπόλλωνι ἵδρυται, ϗ Ἀκτιόν γε αὐτὸν οἱ τιμῶντες ὀνομάζουσιν.

igitur tempus festum instat, in quo saltationem Deo peragunt, bovem muscis immolant: cujus illae sanguine saturatae recedunt, veluti munere ad id faciendum persuasae. Pisaeae vero muscae, non mercede, sed Dei reverentia motae, quod ab eis requiritur, faciant, laude mihi digniores videntur.

CAP. IX.

De Capris, Dorcadibus, et Leporibus in Icaro insula.

ICARVS insula maris Rubri est, in qua templum Dianae, et caprarum sylvestrium dorcadumque optimae habitudinis et leporum quoque magnus numerus est. Ex illis si quis venari aliquas desideret, venia a dea impetrata, non frustrabitur, sed capiet, captisque gaudebit; at si non petierit, praeter id quod frustra venabitur, poenas etiam luet, quarum alii meminerunt.

CAP. X.

De Apide tauro in Memphitide.

CVM cycnos Riphaeos, quod Iovis et Latonae filio apud Hyperboreos quotidie studiose inserviant, supra commemorarim, taurine proprietates Aegyptiis sacri praetermittam? Atqui hoc si facerem, tum hoc quod suscepi munus scribendi, tum ipsa natura, quae huncce bovem mortalibus et procreat et donat, incusare me possent. Exponam igitur, ut par est, hanc quoque theologiam non oscitanter. Apis apud Aegyptios efficacissimus deus creditur; ex vacca autem, quae fulgure adflata conceperit, nascitur. Epaphum Graeci vocant, atque hujus generis antiquam stirpem repetentes, Io Argivam Inachi filiam illius matrem fuisse testantur. Sed hunc sermonem Aegyptii ut mendacem rejiciunt, temporis longinquitatem testem citantes. Epaphum enim multis post seculis extitisse ferunt, primum vero Apim

ζουσιν. Οὐκοῦν τῆς πανηγύρεως ἐπιδημεῖν μελλούσης, καθ' ἣν καί τι πήδημα πηδῶσι τῷ Θεῷ, θύουσι βοῦν ταῖς μυίαις· αἱ δὲ ἐμπλησθεῖσαι τοῦ αἵματος ἀφανίζονται, δεκασθεῖσαι μὲν οὖν ἀπαλλάττονται αὗται. Αἱ δὲ Πισαῖαι ἀδέκαστοι, κρείττους ἄρα γε ἐκεῖναι, αἰδοῖ τοῦ Θεοῦ, ἀλλὰ μὴ μισθοῦ τὰ δέοντα πράττουσαι.

ΚΕΦ. θʹ.

Περὶ τῶν ἐν Ἰκάρῳ τῇ νήσῳ Αἰγῶν, ϗ Δορκάδων, ϗ Λαγῶν.

Ικαρός ἐστι νῆσος, ϗ τῇγε Ἐρυθρᾷ θαλάττῃ ἔγκειται· ἐνταῦθα τοίνυν νεώς ἐστιν Ἀρτέμιδος, ϗ πλήθη αἰγῶν ἀγρίων ϗ δορκάδων εὖ μάλα εὐτραφῶν, ϗ λαγῶν μέντοι. Τούτων οὖν ἐάν τις αἰτήσας λαβεῖν παρὰ τῆς Θεοῦ, εἶτα ἐπιχειρήσῃ θηρᾶν, ὅσα ἂν ἔχῃ καλῶς, οὐ διαμαρτάνει τῆς σπουδῆς, ἀλλὰ ϗ λαμβάνει, ϗ τῷ δώρῳ χαίρει· ἐὰν δὲ μὴ αἰτήσῃ, οὔτε αἱρεῖ, ϗ δίδωσι δίκας, ἃς ἄλλοι λέγουσιν.

ΚΕΦ. ιʹ.

Περὶ τοῦ ἐν Μέμφιδι Ἄπιδος ταύρου.

ΕΙΤΑ κύκνων μὲν τῶν Ῥιπαίων τῶν ἐν τοῖς Ὑπερβορείοις, ἐπεὶ λατρεύουσι τῷ Διὸς ϗ Λητοῦς ὁσημέραι φιλοπόνως, ἐποιησάμην μνήμην· ταύρου δὲ ἱεροῦ, ὅνπερ οὖν ἐκθεοῦσιν Αἰγύπτιοι, οὐκ ἐροῦμεν τὰ ἴδια; Καὶ πῶς ἡμᾶς οὐκ ἂν μέμψαιτο ϗ ἡ συγγραφὴ, ϗ ἡ φύσις, ἧς ϗ τοῦτο ἔργον τε ϗ δῶρον; ἀλλὰ μήσιός γε οὐδὲ ταύτῃ ῥᾴθυμον, ϗ εἰκότως εἰρήσεται ϗ ἡ θεολογία ἥδε. Θεὸς Αἰγυπτίοις ἐναργέστατος ὁ Ἄπις εἶναι πιστεύεται· γίνεται δὲ ἐκ βοὸς, εἰς ἣν οὐράνιον σέλας ἐμπεσὸν σπορᾶς αἴτιόν ἐστι τῷ προειρημένῳ. Ἕλληνες αὐτὸν καλοῦσιν Ἔπαφον, ϗ γενεαλογοῦσίν οἱ μητέρα Ἰὼ τὴν Ἀργείαν τὴν Ἰνάχου· Αἰγύπτιοι δὲ ἐκβάλλουσι τὸν λόγον ὡς ψευδῆ, ϗ χρῶνται τῷ χρόνῳ μάρτυρι. Φασὶ γὰρ Ἔπαφον μὲν ὀψὲ ϗ κάτω γενέσθαι, τὸν δὲ Ἄπιν τὸν πρῶτον μυριάδας ἐτῶν παμπόλλας

Apim permultis annorum myriadibus ante illum ad homines acceſſiſſe. Inſignes ejus notas Herodotus atque Ariſtagoras explicant; quibus Aegyptii non adſentiuntur, novem enim et viginti eas huic ſacro bovi aptas et conſentaneas eſſe dicunt. Quaenam ſint, tum quemadmodum per corpus ſparſae, tum ut ipſis quaſi floribus inſignitus ſit, aliunde intelligendum; cujuſnam autem ex ſideribus naturam unumquodque inſigne per notas deſignet, Aegyptii ſatis ſuperque declarant. Etenim Nili adſcenſum unum inſigne ſignificare aiunt, aliud mundi, aliud quo tenebras ante lucem fuiſſe inſinuatur, aliud lunaris figurae, aliaque inſignia aliarum rerum ſignificationes eſſe, haud profecto profanis et divinae hiſtoriae ignaris intellectu facilia. Cum autem fama emanavit, Aegyptiorum deum exortum eſſe, ex ſacris ſcribis quidam, qui documentum filio a patre traditum, inſignium notarum indicium, accurate callent, eo, ubi divina vacca partum ex ſeſe ediderit, accedunt; atque ibidem domum ad orientem ſolem, ex vetuſtiſſimo Mercurii praeſcripto, ubi commode alant quatuor menſes, quibus ipſum lacte nutriri oportet, excitant. Poſtea autem quam ibi nutritus eſt, exoriente nova luna, ſcribae ſacri et prophetae eodem proficiſcuntur: et ſimul navem huic ſacram quotannis inſtruunt, eaque ipſum Memphim tranſportant, ubi ſedes huic ſunt et commorationes ſuaves, et loca ad voluptatem comparata, curricula, pulverationes, exercitationes, et vaccarum formae praeſtantia inſignium aedes, tanquam thalami, in quos ingreditur, quum quam amat ſupervenire appetit: itemque eſt puteus, et fons aquae potabilis; nam ejuſmodi huic ſemper conducere miniſtri et ſacerdotes aiunt; non item ex Nili potione, ne propter dulcedinem in

τὴν εἰς ἀνθρώπους ἐπιδημίαν προειληφέναι. Σημεῖα δὲ αὐτοῦ ϗ γνωρίσματα λέγει μὲν ϗ Ἡρόδοτος ϗ Ἀρισταγόρας· οὐχ ὁμολογοῦσι δὲ αὐτοῖς Αἰγύπτιοι, ἐννέα ϗ εἴκοσι γὰρ αὐτὰ εἶναί φασι, ϗ ἐμπρέπειν τῷδε τῷ ἱερῷ βοΐ. Τίνα δὲ ταῦτ᾽ ἐστι, ϗ ὅπως διέσπαρται κατὰ τοῦ σώματος τῷ ζώῳ, ϗ ὅν τινα τρόπον οἱονεὶ διήνθισται αὐτοῖς, ἀλλαχόθεν εἴσεσθε· ὅτου δὲ τῶν ἀστέρων ἕκαστον σημεῖον διὰ συμβόλων αἰνίττεται τὴν φύσιν, Αἰγύπτιοι τεκμηριῶσαι ἱκανοί. Καὶ γάρ τοι ϗ τὴν ἄνοδον τὴν τοῦ Νείλου ὑποδηλοῦν σημεῖόν φασι, ϗ τὸ τοῦ κόσμου σχῆμα, ἀλλ᾽ ὄψει τι ϗ σύμβολον, ὡς ἐκεῖνοι λέγουσιν, ὅπερ οὖν αἰνίττεται τοῦ φωτὸς εἶναι τὸ σκεῦος πρεσβύτερον, ϗ τὸ μηνοειδὲς τῆς σελήνης κατηγορεῖ σχῆμα συνιέντι μέρος ἄλλο, ϗ ἄλλα δὲ ἐπὶ τούτοις ἄλλων τε αἰνίγματα βεβήλοις τε ϗ ἀμαθέσιν ἱστορίας θεοπρεποῦς οὐκ εὐσύμβολα ταῦτα ὀφθαλμοῖς ὄντα. Ὅταν δὲ διαῤῥεύσῃ ἡ φήμη τὸν θεὸν Αἰγυπτίοις τετέχθαι λέγουσα, τῶν γραμματέων τῶν ἱερῶν τινες, ὥσπερ οὖν μάθημα παιδὶ ἐκ πατρὸς παραδοθὲν ἀκριβοῖ τὸν ὑπὲρ τῶν σημείων ἔλεγχον, ἥκουσιν ἐνταῦθα, οὗ τῆς θεοῦ φασιν Αἰγυπτίου βοὸς τὸ βρέφος ἐτέχθη· ϗ κατά γε τὴν ὑφήγησιν τοῦ Ἑρμοῦ τὴν πρεσβυτάτην, οἰκίαν τε ἐγείρουσιν, ἔνθα δήπου ϗ διαιτήσεται τήν γε πρώτην εἰς ἡλίου μὲν ἀνατολὰς ὁρῶσαν, τροφὰς δὲ τὰς τοῦ βρέφους ὑποδέξασθαι ϗ μάλα γε ἱκανήν, τεττάρων γὰρ δεῖ μηνῶν ἐν γάλαξι τόνδε εἶναι τὸν μόσχον. Ἐπὰν δὲ γένηται τραφείς, ἐνταῦθά τοι, ὑπανισχούσης σελήνης νέας, ἀπαντῶσι γραμματεῖς ἱεροὶ ϗ προφῆται· ϗ μέντοι ϗ ναῦν ἀνὰ ἔτος ἐς τοῦτο ϗ τῷδε τῷ δαίμονι ἱερὰν κοσμοῦσι, ϗ ταύτῃ πορθμεύουσιν αὐτὸν ἐς Μέμφιν, ἔνθα φίλα τὰ ἤθη αὐτῷ, ϗ τριβαὶ κεχαρισμέναι, ϗ ἐνηβητήρια, ϗ δρόμοι, ϗ κονίστραι, ϗ γυμνάσια, ϗ θηλειῶν βοῶν ὡραίων οἶκοι, οἱονεὶ θάλαμοι, ὅτε ἐθέλοι, ϗ ἣν ἐρᾷ θυμὸς ἀναβαίνειν αὐτόν· ϗ φρέαρ, ϗ κρήνη ποτίμου νάματος· τοῦτο γάρ οἵ φασιν οἱ θεραπευταί τε ϗ ἱερεῖς λυσιτελεῖν ἀεί, Νειλῴου πίνειν κᾆτα πιαίνεσθαι· ϗ γὰρ γλυκὺ τούτου τοῦ ῥεύματος, ϗ εἰς

in immenſam molem pingueſcat. Iam vero quas pompas, quae ſacrificia Aegyptii conficiant, cum novae amnis alluvionis adventum, tum Dei exortum celebrantes, quas etiam ſaltationes tum agant, quae convivia agitent, quos conventus habeant, tum quemadmodum omnes urbes et vici immortaliter gaudeant, longum eſſet explicare. Is autem, ex cujus armento haec divina beſtia exorta fuerit, beatus et habetur et eſt, ſummamque Aegyptiorum admirationem habet. Is bos praeſenſione valet: nec ſane vel puellas, vel aniculas, ad tripodem ſeſſitantes habet, neque ſacra potione implet; ſed pueri divino adflatu concitati extra ludentes, atque inter ſe ad numerum ſaltantes, conſulentibus futura praedicunt, quae vel iis, quae apud Sagram contigerunt, veriora habeantur. Apin ſane Aegyptii etiam Oro comparant, quem frugum proventus et totius anni fertilitatis praecipuum eſſe auctorem exiſtimant. Hinc eſt quod de multifario ejus colore differunt, fructuum varietatem hoc ſymbolo innuentes. Extat et propheticus quidam ſermo, non paſſim notus, Aegyptiorum regem Menin [al. Mnevin] nomine, cum inquireret quodnam potiſſimum animal eſſet colendum, ceteris omnibus taurum praetuliſſe, quod illum omnium eſſe formoſiſſimum judicaret, Homeri quidem hac in re, ut ferunt, veſtigia ſecutus. Sic enim in Iliade Homerus canit:

Taurus in armento praecellit ut omnibus unus,
Dux gregis et princeps.

Cetera, quae Aegyptii animalium naturae ſcriptores de hac animante fabulantur, rerum veritate perverſa, repetere mihi non libet.

CAP.

ὄγκον σαρκῶν ὄντος ἀγαθοῦ. Πομπὰς δὲ, ἃς πέμπουσι, καὶ ἱερουργίας ἐπιτελοῦσι, τοῦ νέου ὕδατος καὶ δαίμονος τὰ θεοφάνια θύοντες Αἰγύπτιοι, καὶ χορείας χορεύουσι, καὶ θαλίας, καὶ πανηγύρεις, ἃς ἐπιτελοῦσι, καὶ ὅπως αὐτοῖς καὶ πόλις ἅπασα καὶ κώμη δι' εὐφροσύνης ἔρχεται, μακρὰ ἂν εἴη λέγειν. Λέγει δὲ ἐκεῖνος, ἐν ὅτου τῇ ἀγέλῃ τόδε τὸ θεῖον ἐγένετο ζῶον, δοκεῖ τε εὐδαίμων καὶ ἐστιν, ἄγουσι δὲ Αἰγύπτιοι θαυμαστόν γε αὐτόν. Μάντις τε ἦν ἄρα ἀγαθὸς ὁ Ἄπις, οὐ καθίζων μὰ Δία κόρας, ἢ πρεσβυτέρας γυναῖκας, ἐπί τινων τριπόδων, οὐ δὲ μὴν πόματος ἱεροῦ ἐμπιπλάς· ἀλλ' ὁ μέν τις εὔχεται τῷ θεῷ, τῷ δὲ αὐτοῦ καὶ μαθεῖν ἐθέλει· παῖδες δὲ ἀθύροντες ἔξω, καὶ πρὸς ἀλλήλους σκιρτῶντες, ἐπίπνοοι γενόμενοι σὺν τῷ ῥυθμῷ αὐτὰ ἕκαστα προλέγουσιν, ὡς εἶναι σάφραν τὰ λεχθέντα. Εἰκάζουσι δὲ ἄρα καὶ τῷ Ὥρῳ αὐτὸν Αἰγύπτιοι, ὅνπερ οὖν πεπιστεύκασι φορᾶς καρπῶν καὶ εὐετηρίας αἰτιώτατον ἁπάσης. Ἔνθεν τοι καὶ ὑπὲρ τῆς πολυχροίας αὐτοῦ φιλοσοφοῦσι, τὸ ποικίλον τῶν τρόπων ὑπαινιττόμενοι διὰ συμβόλων. Λέγει δέ τις τῶν προφητῶν λόγος οὐ πᾶσιν ἔκπυστος, ὅτι ἄρα ὁ τῶν Αἰγυπτίων βασιλεὺς ἐπενόησε ζῶον ὥστε σέβειν ἔμψυχον, εἶτα μέντοι προείλετο ταῦρον, ἁπάντων ὡραιότατον αὐτὸν εἶναι πεπιστευκώς· καὶ τῆς γε Ὁμηρείου κρίσεως τῆς ὑπὲρ τούτων κατ' ἴχνια ἰὼν ὁ Μῆνις φασίν. Εἰπεῖν γὰρ ἐν Ἰλιάδι καὶ Ὅμηρον·

Ἠΰτε βοῦς ἀγέληφι μέγ' ἔξοχος ἔπλετο πάντων
Ταῦρος· ὁ γάρ τε βόεσσι μεταπρέπει ἀγρομένῃσι.

Οἷα δὲ μυθολογίαν ὑπὲρ τοῦδε τοῦ ζώου ἐκτρέπουσιν Αἰγύπτιοι τῇδε τῇ περὶ ζώων ἀληθείᾳ καὶ ἰδιότητι, οἱ τὰ περὶ τῶν ζώων γράψαντες, οὔ μοι δοκεῖ φίλα εἶναι.

CAP. XI.

De bove Mnevide ab Aegyptiis dicto.

NVNC age jam transi, inquit poeta, non quidem ad durium illum equum, et in eo conditos milites decantandum; sed nostri ut sermonis institutum postulat, ad Mnevim bovem, quem soli sacrum Aegyptii faciunt, ut Apin lunae. Iidem hunc quoque suo quodam insigni, quo genuinus et verus et soli acceptus dignoscatur, esse aiunt conspicuum: quod, qui desiderat, aliunde petat: sed nec ipse dissimulabo, quem accepi Aegyptiorum sermonem super hujus tauri procreatione, utrum procreatio ejus, ita ut par est, excellat, necne. Bocchoris Aegyptiorum rex, nescio quomodo falsam hanc gloriam et fictitiam famam adeptus, justus in judiciis et causis decernendis existimabatur, et animo erga deum moderato ac probe composito, cum ingenio prorsus contrario esset; nam ut aliud nihil dicam, adversus Mnevin, ut injurius ac molestus Aegyptiis esset, haec est molitus. Taurum ferum ei adversarium adduxit, qui Mnevidem mugientem vicissim primum edito mugitu excepit; dein impetu in sacrum illum taurum irruens aberravit, et cornibus in Perseae caudicem defixis inhaesit: tum Mnevis eum per latera sauciatum interemit. Hujus facti et pudore ductus est Bocchoris, et in odium Aegyptiorum incurrit. Quod si quis parum nobis benignus me iis, quae ritu naturae fiunt, relictis ad fabulas divertisse putat, fallitur. Refero enim ea, quae et nostro tempore circa hos tauros fieri solent, et facta sunt olim, quaeque ipsos narrantes audivi Aegyptios, ejus quidem auctoritatis viros, quos mentiri voluisse minime credas.

CAP.

ΚΕΦ. ιά.

Περὶ τοῦ ἐν Αἰγύπτῳ καλουμένου Μνεύιδος.

ΑΛΛ' ἄγε δὴ μετάβηθι, φαίη ἂν ὁ λόγος, καὶ οὐκ ἵππον μὰ Δία, οὐδὲ μὴν τὸν ἐν αὐτῷ λόγον ᾆδε, ἀλλὰ Μνεῦιν βοῦν, καὶ τοῦτον Αἰγύπτιοι ἡλίου φασὶν ἱερὸν, ἐπεὶ τόνγε Ἄπιν ἀνάθημα εἶναι Σελήνῃ λέγουσιν. Ἴδιον δὲ ἄρα καὶ τούτῳ γνώρισμα ἐς τὸ εἶναι μήτε κίβδηλον, μήτε μὴν νόθον, ἀλλὰ φίλον τῷ θεῷ τῷ προειρημένῳ, φασὶν Αἰγύπτιοι· καὶ ὑπὲρ τοῦδε ἐρεῖ ἄλλος. Ὃν δὲ ἤκουσα λόγον Αἰγύπτιον ἐς βάσανον τοῦδε τοῦ ταύρου καὶ ἔλεγχον, εἴτε ἐστὶ σπορᾶς κρείττονος, εἴτε μὴ, τοῦτον εἰπεῖν ἐθέλω. Βόκχορις ὁ τῶν Αἰγυπτίων βασιλεὺς, κατὰ κλέος ψευδὲς καὶ φήμην οὐδὲν λέγουσαν ὑγιὲς, οὐκ οἶδα ὅπως ἁρπάσας, δίκαιός τε ἐν ταῖς κρίσεσι ἐδόκει, καὶ πρὸς τὸ θεῖον τὴν ψυχὴν κεκοσμημένος, ἦν δὲ ἄρα ἔμπαλιν πεφυκὼς ἐκεῖνος· καὶ τὰ μὲν πλείω ἐῶ νῦν, τὸν δὲ Μνεῦιν λυπῆσαι θέλων Αἰγυπτίους, οἷα ἐργάζεται γοῦν αὐτόν. Ταῦρον ἄγριον ἐπάγει οἱ ἀντίπαλον, οὐκοῦν μυκᾶται μὲν ὁ Μνεῦις, ἀντεμυκήσατο δὲ ὁ ἔπηλυς· εἶτα ὑπὸ θυμοῦ φέρεται ἐμπεσεῖν τῷ ταύρῳ τῷ θεοφιλεῖ μὲν ὁ ξένος, ἐθέλων δὲ καὶ σφάλλεται, καὶ εἰς περσαίας ἐμπεσὼν πρέμνον ἐπεσχέθη τὸ κέρας· ὁ δὲ κατὰ πλευρὰν ὁ Μνεῦις τιτρώσκων τῇ κεφαλῇ, ἀπέκτεινεν αὐτόν. Αἰδεῖται Βόκχορις, καὶ μισοῦσιν αὐτὸν Αἰγύπτιοι. Εἰ δέ τις ἔχθιστος οἴεται ἐκ τῶν φυσικῶν λόγων εἰς μύθους ἐμπεσεῖν, μωρός ἐστι. Λέγω γὰρ, ὅσα τε δρᾶται ἐπὶ τοῖσδε τοῖς ταύροις, καὶ ὅσα ἐπράχθη, καὶ ἀκούω λεγόντων Αἰγυπτίων· οὐκ ἦν δὲ ἄρα, οὔ· ὡς τὸ ψευδὲς ἐκείνοις ἔχθιστόν ἐστι.

CAP. XII.

De Delphinorum intellectu.

QVAM vehementi delphini muſicae amore teneantur, quamque admirabili ad vocis cantum ſtudio concitentur, ſermone et literis multorum longe lateque pervagatum eſt; quam item hominum amantes ſint, cum alii plerique ſcripſerunt, tum nos ante explicavimus: nunc de intellectu eorum dicere non alienum eſt. Simul enim ut in retia delphinus incidit, ſtatim primo quidem quiete et libere manet, neque omnino fugere meminit; ſed et epulatur, et alios ſecum captos depaſcitur, et tanquam ad convivium vocatus iis exſaturatur: deinde cum ſe extrahi, atque ad litus appropinquare intelligit, dentibus lacerato reti, e ſervitute liberatur. Iam ſi quando piſcatores, poſteaquam captivi delphini nares holoſchoeno junco trajecerint, eum ex poteſtate idcirco dimittant, ut hoc ſigno, ſi iterum capiatur, det indicia ſe antea captum et ſervatum fuiſſe; is velut indicium et notam priſtinae captivitatis veritus, non amplius ad ſagenam appropinquat. Si delphinus quiſpiam comprehenſus in piſcatoriam navim, ut narrat Ariſtoteles, ſubtrahatur, alii tum permulti naviculam hanc circumnatantes, tamdiu ſe ibi crebris ſaltibus verſant, et tanquam piſcatoribus pro hujus ſalute ſupplicantes provolvunt, dum piſcatores captivi miſericordia ducti, eiſque ita ſuppliciter quaſi petentibus cedentes, comprehenſum dimittant.

CAP. XIII.

De Canibus Daphnidis.

DAPHNIDIS Syracuſani bubulci, celebri illa calamitate a nympha quadam adfecti, canes quinque ab ipſo nutritos, Sanum, Podargum, Lampadem, Alcimum, et Theontem, cum miſerabilem

ΚΕΦ. ιβ'.

Περὶ τῆς τῶν Δελφίνων Συνέσεως.

ΟΙ δελφῖνες, τὸ μὲν φιλόμουσον αὐτῶν, ϗ περὶ τὴν φωνὴν ᾠδικόν τε ϗ φιλόπονον, κεκήρυκταί τε ϗ εἰς πολλοὺς ἐξεφοίτησε· ϗ ὡς εἰσὶ φιλάνθρωποι, ἄλλοι τε εἶπον, ϗ ἡμεῖς ἄνω που διεξήλθομεν τῷ λόγῳ· ἐνταυθοῖ δὲ εἰπεῖν ὑπὲρ τῆς συνέσεως αὐτῶν οὐ χεῖρόν ἐστιν. Ὅταν γοῦν δικτύῳ περιπέσῃ δελφὶς, τὰ μὲν πρῶτα ἡσυχάζει, ϗ φυγῆς οὐδέν τι μέμνηται, εὐωχεῖται δὲ τῶν συνεαλωκότων ἰχθύων, ϗ ὥσπερ ἐπὶ δαῖτα ἥκων κλητὸς εἶτα ἐμφορεῖται αὐτῶν· ὅταν δὲ αἴσθηται ἐπισυρόμενος ὅτι γίνεται τῆς γῆς πλησίον, ἐνταῦθά τοι τὸ δίκτυον διατραγὼν ἀπαλλάττεται, ϗ ἔστιν ἐλεύθερος. Ἐὰν δέ ποτε ἁλῷ, οἱ χαριέστεροι τῶν ἁλιέων ὁλόσχοινον αὐτοῦ διείραντες τῶν ῥινῶν, ἐπαφῆκαν αὐτόν· γνώρισμα δὲ τοῦτο, εἰ ἐμπέσοι ἄρα, τοῦ ϗ πρόσθεν ἁλῶναί τε ϗ σεσῶσθαι αὐτὸν περιφέρει· ὁ δὲ, οἷα τὸν ἔλεγχον αἰδούμενος, οὐκ ἔτι πλησιάζει σαγήνῃ τὸ ἐντεῦθεν. Λέγει δὲ Ἀριστοτέλης, ὅτι ϗ ἂν ἁλῷ ϗ δεθῇ εἷς ἐν τῇ σκάφῃ, πολλοὶ περινήχονται δελφῖνες τὴν ἁλιάδα, ϗ ἐς τοσοῦτον πηδῶσί τε ϗ σκιρτῶσι δίκην ἱκετῶν, ἔς τε παθεῖν τι τοὺς ἁλιέας, ϗ οἰκτεῖραι μὲν τὸν δεσμώτην, εἶξαι δὲ τοῖς δεομένοις, ϗ ἀπολῦσαι αὐτοῖς τὸν ᾑρημένον.

ΚΕΦ. ιγ'.

Περὶ τῶν Δάφνιδος Κυνῶν.

ΔΑφνιδος τοῦ βουκόλου τοῦ Συῤῥακουσίου, παθόντος ὑπὸ τῆς νύμφης ταῦτα δή που τὰ ὑμνούμενα, πέντε τροφίμους κύνας, τὸν Σάνον, ϗ τὸν Πόδαργον, ϗ τὴν Λαμπάδα, ϗ τὸν Ἄλκιμον, ϗ τὸν Θέοντα, θεασαμένους τοῦ δεσπότου τὰς πά-

ſerabilem domini caſum vidiſſent, propter illum mori voluiſſe aiunt, luctu prius et ululatu plurimo eum proſequutos.

C A P. XIV.

De memoria Elephantorum; et de amoris adfectu erga eos, qui curam ipſorum gerunt.

VARIA et multiplicia de elephantorum natura ante dixi: nunc quam memoria ſint bona; quamque diligenter praeceptum officii adverſus praecipientes teneant; quamque ſimul eorum, qui quippiam eis committunt, vel expectationem vel fidem non fallant, explicandum eſt. Cum Antigonus Megarenſem urbem obſideret, femina ſimul elephas, Nicaea nomine, cum uno de elephantis bellatoribus verſabatur. Et cum illius, qui elephantum aleret, uxor infantem puerum ante menſem peperiſſet, eundem Nicaeae elephanto, lingua utens Indica, quam elephanti intelligunt, commendavit. Is autem puerulum diligebat, et cuſtodiebat, ex eoque proxime adjacente magnam voluptatem capiebat; cum ploraret, oculos tum avertebat, tum vero ab eo dormiente muſcas abigebat, promuſcide ventilans arundinis ramum ex illis, qui pro pabulo ei objiciebantur; omnem vero cibum, niſi puer adeſſet, rejiciebat. Nutrix igitur neceſſe habebat, poſteaquam eum lacte compleviſſet, elephanto curatori apponere; vel omnino elephantus non parum iracundia incitabatur, ac nonnunquam ita, ut etiam mali aliquid minari et moliri videretur. Saepe etiam cum vagiret infans, cunas, in quibus jaceret, movebat; ſicque eidem ipſi ex hoc motu oblectamenta et ſolatia, ſicut nutrix, adferre ſtudebat.

θας, ἐπ' αὐτῷ θάνατον ἑλέσθαι φασὶ, καὶ πολλὰ μὲν ὀδύρασθαι πρότερον, κλαῦσαι δὲ πάμπολλα.

ΚΕΦ. ιδ'.

Περὶ τῆς τῶν Ἐλεφάντων μνήμης τε, καὶ πρὸς τοὺς κηδεμόνας φιλοστοργίας.

Διάφορα μὲν καὶ ποικίλα τῆς τῶν ἐλεφάντων ἰδιότητος ἄνω μοι λέλεκται· νῦν δὲ εἰρήσεται, ὅτι καὶ μνήμην ἀγαθόν ἐστι τὸ ζῶον τοῦτο, καὶ ἐντολὰς φυλάξαι οἶδε, καὶ μὴ ψεύσασθαι τὴν τῶν παρακαταθεμένων ὁτιοῦν αὐτῷ προσδοκίαν τε καὶ ἐλπίδα. Ὅτε γοῦν Ἀντίγονος ἐπολιόρκει Μεγαρέας, ἑνὶ τῶν ἐλεφάντων τῶν πολεμικῶν συνετρέφετο καὶ θῆλυς, ὄνομα Νίκαια ταύτῃ. Ἡ τοίνυν τοῦ τρέφοντος αὐτὸν γυνὴ παιδίον ἔτυχε τεκοῦσα πρὸ ἡμερῶν τριάκοντα, καὶ παρακατέθετο φωνῇ τῇ Ἰνδῶν, ἧς ἀκούουσιν ἐλέφαντες. Ὁ δὲ καὶ ἐφίλει τὸ παιδίον, καὶ ἐφύλαττε, καὶ κειμένου πλησίον ἥδετο, καὶ κνυζομένου παρέβλεπε, καὶ καθεύδοντος τῇ προβοσκίδι τὰς μύας ἀνεσόβει, καλάμου κλαδὶ τοῦ παραβαλλομένου εἰς τροφήν· εἰ δὲ μὴ παρῆν τὸ βρέφος, τότε καὶ τροφὴν ἀνεστέλλετο. Οὐκοῦν ἔδει τὴν τρέφουσαν αὐτὸ ἐμπλῆσαι μὲν τοῦ γάλακτος, παραθεῖναι δὲ τῷ κηδεμόνι· ἢ πάντως ἀγανακτῶν ἡ Νίκαια ἦν δῆλος, καὶ τεθυμωμένος, καί τι καὶ δρασείων τῶν δεινῶν. Πολλάκις δὲ καὶ ἀνακλαύσαντος αὐτοῦ, εἶτα τὴν σκάφην, ᾗ ἐνέκειτο, διέσεισε, παραμυθούμενος τῷ σεισμῷ τὸ βρέφος, οἷα δήπου φιλοῦσι καὶ αἱ τροφοὶ, καὶ αἱ τίτθαι δρᾷν, ποιῶν, ὦ ἄνθρωποι, ὁ ἐλέφας.

CAP. XV.

De Elephantorum rivalitate.

ZELOTYPIAM vehementem diverſorum animalium, porphyrionis, canis, et ciconiae diximus ſuis locis; nunc mihi exponendum videtur elephanti odium in eos, qui cum alienis uxoribus ſtuprum faciant. Nam cum uxorem ſui domitoris et altoris ſtuprari manifeſto deprehendiſſet, ambos, et eum qui ſtuprum inferebat, et eam quacum id faciebat, cornibus transfigens interfecit, ac in ſtragulis conſtupratis et lecto adulterato jacentes reliquit; ut cum primum ſuus rector veniſſet, et manifeſto nefarium facinus, et ſe hujus vindicem cognoſceret. Hoc quidem factum ab India huc ad nos manavit. At Romae aliud ſimile eveniſſe audio ſub optimo imperatore Tito: praeterquam quod addunt, ibi elephantum non utrumque modo occidiſſe, ſed et ſtragula veſte eos texiſſe, et nutritio advenienti ſtragula rejeciſſe, et retexiſſe, et proxime inter ſe jacentes demonſtraſſe; ita ille tum facile injuriam illatam ſibi fuiſſe intellexit, tum etiam maxime facinus ei liquebat, ubi cornu, quo ipſos confixiſſet, cruentum perſpexit.

CAP. XVI.

De divinatione Draconum.

EST et peculiaris draconum divinatio. Nam et in Lavinio, oppido Latinorum (quod a Lavinia Latini filia nomen accepit, quo tempore Latinus, Aeneae adverſus Rutulos auxiliatus, eos devicit, et Aeneas Trojanus Anchiſae filius civitate praedicta potitus eſt; quae quidem Romae veluti avia nominari poſſet, ex hac enim profectus Aſcanius Aeneae et Creuſae Trojanae filius Albam condidit, cujus colonia eſt Roma) ceterum in Lavinio ſacer

ΚΕΦ. ιέ.

Περὶ τῆς τῶν Ἐλεφάντων ζηλοτυπίας.

ΖΗλοτυπίαν ζώων ἐνεργοτάτην διαφόρων ἐν καιροῖς οἶδα εἰπὼν, πορφυρίωνος, ϗ κυνὸς, ϗ μέντοι ϗ πελαργοῦ νὴ Δία ἐκ τρίτου· νῦν δὲ ἔοικα λέξειν ἐλέφαντος ὀργὴν εἰς γάμον ἀδικουμένου. Μοιχευομένην γὰρ τὴν τοῦ πωλεύσαντος αὐτὸν ϗ τρέφοντος γυναῖκα ἐπ' αὐτοφώρῳ καταλαβὼν, δι' ἀμφοτέρων θάτερον πείρας τοῖν κεράτοιν, ἀπέκτεινε ϗ τὸν μοιχὸν ϗ τὴν μοιχευομένην, ϗ εἴασε κεῖσθαι κατὰ τῶν στρωμάτων τῶν ὑβρισμένων, ϗ τῆς εὐνῆς τῆς πεπατημένης, ὡς ἐλθόντα τὸν πωλευτὴν καταγνῶναι ϗ τὸ ἀδίκημα, ϗ τὸν τιμωρήσαντα αὐτῷ γνωρίσαι. Καὶ τοῦτο μὲν Ἰνδικὸν τὸ ἔργον, ἐκεῖθεν δὲ ἐξεφοίτησε δεῦρο. Ἀκούω δὲ ϗ ἐπὶ Τίτου Ῥωμαίων βασιλεύοντος, ἀνδρὸς καλοῦ ϗ ἀγαθοῦ, ϗ ἐν τῇ Ῥώμῃ ταὐτὸν γεγονέναι· προστιθέασι δὲ, ὅτι ἄρα ὁ ἐνθάδε ἐλέφας ἀπέκτεινε μὲν ἀμφοτέρους, ϗ ἐν ἱματίῳ κατεκάλυψε, ϗ ἐλθόντι τῷ τροφεῖ ἀποβαλὼν τὸ ἱμάτιον κειμένους πλησίον ἀλλήλων ἀπέδειξε, ϗ τὸ κέρας δὲ, ᾧπερ οὖν διέπειρεν αὐτοὺς, ϗ τοῦτο ᾑμαγμένον ἑωρᾶτο.

ΚΕΦ. ις΄.

Περὶ τῆς τῶν Δρακόντων μαντικῆς.

ἼΔιον δ' ἦν ἄρα τῶν δρακόντων ϗ ἡ μαντική. Ἐν γοῦν Λαυινείῳ τῷδε τῷ πολίσματι, ὅπερ τῆς Λατίνων χώρας ἐστὶ (κέκληται δὲ ἀπὸ τῆς Λατίνου θυγατρὸς Λαυινείας, ἡνίκα Λατῖνος Αἰνείᾳ συνεμάχησε κατὰ τῶν καλουμένων Ῥουτουλῶν, εἶτα ἐνίκησεν αὐτούς· ἐνίκησε δὲ Αἰνείας ὁ Ἀγχίσου ὁ Τρὼς τὴν πόλιν τὴν προειρημένην, εἴη δ' ἂν τῆς Ῥώμης μητρομήτωρ, ὡς ἂν εἴποι τις, ἐντεῦθεν γὰρ ὁρμηθεὶς Ἀσκάνιος ὁ Αἰνείου ϗ Κρεούσης τῆς Τρῳάδος ᾤκισε τὴν Ἄλβαν, Ἀλβανῶν

δὲ

cer eſt lucus magnus et opacus, juxtaque ipſum aedes Iunonis Argolidis. In luco autem latibulum eſt amplum ac profundum, draconis cubile. In hunc lucum ſanctae virgines ſtatis diebus ingrediuntur, quae mazam geſtant manibus, oculos faſciis devinctae; eas recta ad latibulum divinus quidam ſpiritus deducit, ſenſimque ac pedetentim progrediuntur ſine offenſione, ac ſi detectis oculis viderent. Quod ſi virgines fuerint, cibos tanquam puros et deo gratae animanti convenientes admittit draco; ſin minus, non attingit, corruptas eſſe intelligens et divinans. Formicae vero hanc mazam a vitiata relictam minutatim confractam, quo facilius ferant, e luco exportant, expurgandi gratia loci. Hoc cum fit, ab indigenis animadvertitur, et quae ingreſſae fuerant indicantur, examinanturque; et cujus pudicitiam eſſe violatam conſtiterit, poena legibus conſtituta plectitur. Dracones igitur non expertes eſſe vaticinationis hoc modo demonſtrarim.

CAP. XVII.

De Dracone in Melite Aegyptia.

NON temere canit Homerus:

Terribiles dii, cum apparent manifeſti.

Nam et draco ſacer ac venerandus divinius in ſe aliquid habet, quodque praeſtet ignorari. Nempe, in Melite Aegyptia draco divinis honoribus adficitur in turri quadam; adſunt ei ſacerdotes et miniſtri, menſa et crater ponuntur; crateri quotidie immittunt libum ex farina ſubacta melicrato, et recedunt; poſtridie vero reverſi craterem inveniunt vacuum. Et cum aliquando maximus natu ſummo videndi draconis deſiderio teneretur, ſolus ingreſſus,

δὲ ἡ Ῥώμη ἄποικος) ἐκεῖ ἐν τῷ Λαυαινείῳ ἄλσος τιμᾶται μέγα καὶ δασὺ, καὶ ἔχει πλησίον νεὼν Ἥρας Ἀργολίδος. Ἐν δὲ τῷ ἄλσει φωλεός ἐστι μέγας καὶ βαθὺς, καὶ ἔστι κοίτη δράκοντος. Παρθένοι τε ἱεραὶ νενομισμέναις ἡμέραις παρίασιν εἰς τὸ ἄλσος ἐν ταῖν χεροῖν φέρουσαι μάζαν, καὶ τοὺς ὀφθαλμοὺς τελαμῶσι κατειλημμέναι· ἄγει δὲ αὐτὰς εὐθύωρον ἐπὶ τὴν κοίτην τοῦ δράκοντος πνεῦμα θεῖον, καὶ ἀπταίστως προΐασι βάδην καὶ ἡσυχῆ, ὥσπερ οὖν ἀκαλύπτοις ὁρῶσαι τοῖς ὀφθαλμοῖς. Καὶ ἐὰν μὲν παρθένοι ὦσι, προσίεται τὰς τροφὰς ἁγνὰς ὁ δράκων, καὶ πρεπούσας ζώῳ θεοφιλεῖ· εἰ δὲ μὴ, ἄπαστοι μένουσι, προειδότος αὐτοῦ τὴν φθορὰν, καὶ μεμαντευμένου. Μύρμηκες δὲ τὴν μάζαν τὴν τῆς διακορηθείσης εἰς μικρὰ καταθρύψαντες, ὡς ἂν εὔφορα αὐτοῖς εἴη, εἶτα ἐκφέρουσιν ἔξω τοῦ ἄλσους, καθαίροντες τὸν τόπον. Γνωρίζεταί τε ὑπὸ τῶν ἐπιχωρίων τὸ πραχθὲν, καὶ αἱ παρελθοῦσαι ἐλέγχονται· καὶ ἥγε τὴν παρθενείαν αἰσχύνασα ταῖς ἐκ τοῦ νόμου κολάζεται τιμωρίαις. Μαντικὴν μὲν δὴ δρακόντων ἂν ἀποφήναιμι τὸν τρόπον τοῦτον.

ΚΕΦ. ιζ'.

Περὶ τοῦ ἐν τῇ Μελίτῃ Δράκοντος.

ΛΕγει μὲν οὖν Ὅμηρος·

Χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς.

Οὐκοῦν ἔχει τι καὶ δράκων ὁ ἐν ταῖς ἁγιωτάταις τιμαῖς θειότερον, καὶ εἰδέναι οὐ λυσιτελὲς αὐτόν. Καὶ ὅγε λέγω, τοιοῦτόν ἐστιν· Ἐν Μελίτῃ τῆς Αἰγύπτου δράκων ἐστὶν ἱερὸς ἐν πύργῳ, καὶ τετίμηται, καὶ ἔχει θεραπευτὰς καὶ ὑπηρέτας· καὶ κεῖταί οἱ τράπεζα, καὶ κρατήρ· εἰς τοῦτον οὖν ἀνὰ πᾶσαν τὴν ἡμέραν ἄλφιτα ἀναδεύσαντες μελικράτῳ, εἶτα ἀπίασι· καὶ τῇ ὑστεραίᾳ ὑποστρέψαντες κενὸν τὸν κρατῆρα εὑρίσκουσιν. Οὐκοῦν ὁ πρεσβύτατος τῶνδε τῶν ὑπηρετῶν ἵμερον δριμύτατον ἔσχε θεάσασθαι τὸν δράκοντα, καὶ παρελθὼν μόνος, καὶ ποιήσας τὰ εἰθισμένα, ὑπα-

 πέστη·

greffus, et libo propofito, receffit; et mox dracone menfa confcenfa epulante, ille fubito magno cum ftrepitu fores, quas pro more clauferat, aperuit. Draco indignatus abiit: at ille, vifo quem voluerat, fuo quidem malo, mente captus, et fuum confeffus crimen, mox obmutuit; et paulo poft collapfus interiit.

CAP. XVIII.

Proprietates quaedam admirandae Pavonis et Equi.

HAEC etiam animalibus peculiaria funt. Pavo fafcini veluti naturale amuletum lini radicem inquirit, et fub alarum altera retrorfum geftat. Retentam in equo urinam laxari aiunt, et ftatim copiofe reddi, fedarique dolorem, fi virgo zona, qua amicitur, foluta faciem ejus feriat. Equae in venerem furor nimius, Ariftotele auctore, fedabitur facile, juba cervicis ejus detonfa; fic enim veluti pudore ducta furorem, motumque libidinis, et concitationem nimiam, prae verecundia remittet. Quod ipfum etiam Sophocles innuit in fabula, cui titulus Tyro, quae ita loquitur:

Luctum capillus arguit tonfus gravem.
[illegible]
Flavam comantem tondere a cervicibus
Equifones. Haec inde moefta in [illegible]
Et amnibus contemplatur fe priftina
Iubae decore fpoliatam, luget, dolet
Adeo, movere poffit ut vires quoque
Ad condolendum miferatos vicem ipfius.

CAP.

πέσῃ· ὁ δὲ ἀνελθὼν ἐπὶ τὴν τράπεζαν ὁ δράκων εἱστιᾶτο· καὶ τὰς θύρας ὁ πολυπράγμων ἀνοίξας, ἔτυχε γὰρ κατὰ τὰ εἰθισμένα ἐπικλείσας, ψόφον εἰργάσατο ἰσχυρόν. Ὁ δράκων δὲ ἠγανάκτησε, καὶ ἀνεχώρησεν· ὁ δὲ ἰδὼν ὃν ἐπόθει σὺν τῷ ἑαυτοῦ κακῷ, γίνεται μὲν ἔκφρων, εἰπὼν δὲ ὅσα εἶδε, καὶ ὡς ἠσέβησεν ὁμολογήσας, ἦν ἄφωνος, εἶτα οὐ μετὰ μακρὸν πεσὼν ἀπέθανεν.

ΚΕΦ. ιή.

Ἰδιά τινα θαυμαστὰ Ταὼ καὶ Ἵππου.

Ἴδια δὲ ἄρα τῶν ζώων καὶ ταῦτ' ἐστιν. Ὁ ταὼς ὑπὲρ τοῦ μὴ βασκανθῆναι λίνου ῥίζαν οἱονεὶ περίαπτον φυσικὸν ἀναζητήσας, ὑπὸ τῇ ἑτέρᾳ πτέρυγι βύσας περιφέρει. Λέγονται δὲ, καὶ ἵππου τὰ οὖρα εἰ ἐπισχεθῇ, παρθένον λύσασαν ἣν φορεῖ ζώνην, ἐὰν αὐτὸν παίῃ κατὰ τοῦ προσώπου τῇ ζώνῃ, παραχρῆμα ἐξερεῖν ἀθρόως, καὶ τῆς ὀδύνης παύεσθαι. Θήλειαν δὲ ἵππον εἰς ἀφροδίσια λυττήσασαν πάνυ σφόδρα παῦσαι ῥᾳδίως ἐστὶν, ὡς Ἀριστοτέλης λέγει, εἴ τις αὐτῆς ἀποκείρῃ τὰς κατὰ τοῦ τένοντος τρίχας· αἰδεῖται γὰρ, καὶ οὐκ ἀγανακτήσει, καὶ παύσεται τῆς ὕβρεως καὶ τοῦ σκιρτήματος τοῦ πολλοῦ, κατηφήσασα ἐπὶ τῇ αἰσχύνῃ. Τοῦτό τοι καὶ Σοφοκλῆς αἰνίττεται ἐν τῇ Τυροῖ τῷ δράματι, πεποίηται δέ οἱ αὐτὴ λέγουσα, καὶ ἃ λέγει ταῦτά ἐστι·

Κόμης δὲ πένθος λαχαροπώλου δίκην,
Ἥτις συναρπασθεῖσα βουκόλων ὕπο
Μάνδραισιν ἱππείοισιν ἀγρίᾳ χερὶ
Θέρος θερισθῇ ξανθὸν αὐχένων ἄπο.
Σπασθεῖσα δ' ἐν λειμῶνι ποταμίων ποτῶν
Εἴδει σκιᾶς εἴδωλον αὐγασθεῖσ', ὕπο
Κουραῖς ἀτίμως διατετιλμένης φόβης.
Ἂν οἰκτίρμων τις οἰκτείρῃ ὃν ἵππον
Ἴσουσιν αἰσχύνῃσιν οἷα μαίνεται
Πενθοῦσα, καὶ κλαίουσα τὴν πάρος φόβην.

CAP. XIX.

Quod quaedam Animalia imminentes domorum ruinas praesentiant.

DOMUM ruituram, qui in ea sunt, mures et mustelae etiam praesentiunt, et mature excedunt. Hoc et in Helice contigisse aiunt. Nam cum Helicenses in Iones advenas impii fuissent, eosque ad aram mactassent, juxta Homericum illud, *Prodigia iis dii ostenderunt*; quinque enim diebus priusquam pessum iret Helice, omnes in ea mures, mustelae, serpentes, scolopendrae, verticilli, et alia hujusmodi animalia, magnis copiis exibant per viam, quae ducit Coriam. Haec Helicenses cum fieri viderent, admirabantur; neque tamen de rei causa facere conjecturam poterant. Proxima autem ab illorum animalium egressu nocte terrae motu concussa civitas subsedit, et inundantibus aquis abolita est; et pariter cum urbe Lacedaemoniorum naves decem, quae tum forte ad portum appulerant, eadem maris exundatione perierunt. Est quando animalium etiam ad capiendam ab hominibus impiis ultionem ministerio justitia utitur: argumento est Pantedidas Lacedaemonius, qui cum artifices Dionysii proficiscentes Cythera per Spartam transire prohibuisset, postea in ephororum curia sedens a canibus laceratus est.

CAP. XX.

De Canibus sacris in Adrano Siciliae.

IN Sicilia Adranus est civitas, ut ait Nymphodorus, et in ea Adrani daemonis vernaculi templum, quod omnino insigne ac splendidum esse ait. Sed quae de hoc deo refert cetera, quamque

ΚΕΦ. ιθ΄.

Ὅτι αἰσθητικῶς ἔχει τινὰ τῶν Ζώων τῶν μελλȣσῶν ἐν ταῖς οἰκίαις γίνεσθαι ἀνατροπῶν.

ΜΕλλȣ́σης δὲ οἰκίας καταφέρεσθαι αἰσθητικῶς ἔχȣσιν οἵ τε ἐν αὐτῇ μῦες, ϗ μέντοι ϗ γαλαὶ, ϗ φθάνȣσι τὴν καταφορὰν, ϗ ἐξοικίζονται. Τȣ̃τό τοι καί φασιν ἐν Ἑλίκῃ γενέσθαι. Ἐπειδὴ γὰρ ἠσέβησαν ἐς τȣ̀ς Ἴωνας τȣ̀ς ἀφικομένȣς οἱ Ἑλικήσιοι, ϗ ἐπὶ βωμȣ̃ ἀπέσφαξαν αὐτȣ̀ς, ἐνταῦθα δήπȣ τὸ Ὁμηρικὸν τȣ̃το, Τοῖσι δὲ Θεοὶ τέρατα πρȣ̀φαινον· πρὸ πέντε γὰρ ἡμερῶν τȣ̃ ἀφανισθῆναι τὴν Ἑλίκην, ὅσοι μῦς ἐν αὐτῇ ἦσαν, ϗ γαλαὶ, ϗ ὄφεις, ϗ Σκολόπενδραι, ϗ Σφονδύλαι, ϗ τὰ λοιπὰ ὅσα ἦν τοιαῦτα, ἀθρόα ὑπεξῄει τῇ ὁδῷ τῇ εἰς Κορίαν ἐκφερȣ́σῃ. Οἱ δὲ Ἑλικήσιοι ὁρῶντες ταῦτα πραττόμενα ἐθαύμαζον μὲν, ȣ̓κ εἶχον δὲ τὴν αἰτίαν Συμβαλεῖν. Ἐπεὶ δὲ ἀνεχώρησαν τὰ προειρημένα ζῶα, νύκτωρ γίνεται Σεισμὸς, ϗ Συνιζάνει ἡ πόλις, ϗ ἐπικλύσαντος πολλȣ̃ κύματος, ἡ Ἑλίκη ἠφανίσθη· ϗ κατὰ τύχην Λακεδαιμονίων ὑφορμȣ̃σαι τῇ πόλει δέκα νῆες, Συναπώλοντο τῇ προειρημένῃ Θαλάσσης ἐπικλύσει πολλῇ. Χρῆται δὲ ἅμα εἰς τιμωρίαν τῶν ἀσεβῶν ἀνδρῶν ὑπηρέταις τοῖς ζώοις ἡ δίκη, ϗ τȣ̃δε μαρτύριον. Παντεδίδας ὁ Λακεδαιμόνιος ἀναςείλας διὰ τῆς Σπάρτης ἐλθεῖν τȣ̀ς ἐς Κύθηρα ἀπιόντας τῶν περὶ τὸν Διονύσιον τεχνιτῶν, εἶτα καθήμενος ἐν τῷ ἐφορείῳ, ὑπὸ κυνῶν διεσπάσθη.

ΚΕΦ. κ΄.

Περὶ τῶν ἐν Σικελίᾳ Κυνῶν τῶν ἐν Ἀδρανῷ.

ΕΝ Σικελίᾳ Ἀδρανός ἐςι πόλις, ὥς λέγει Νυμφόδωρος, ϗ ἐν τῇ πόλει ταύτῃ Ἀδρανȣ̃ νεὼς ἐπιχωρίȣ δαίμονος, πάνυ δὲ ἐναργῆ φησιν εἶναι τȣ̃τον. Καὶ τὰ ἄλλα μὲν ὅσα ὑπὲρ αὐτȣ̃ λέγει, ϗ ὅπως ἐμφανής ἐςι, ϗ ἐς τὸ τῶν δεο-

μένων

quamque ſit clarus, et in ſupplices prompte facilis ac propitius, alias dicam; nunc aliud explicabo. Canes ei ſacri ſunt, qui et ipſi colunt eum atque inſerviunt, Moloſſis canibus tum forma tum magnitudine ſuperiores, numero non pauciores quam mille. Hi interdiu blande et adulantes tum peregrinos, tum indigenas, qui templum lucumque ingrediuntur, excipiunt. Nocte vero jam ebrios et titubantes, tanquam viae duces et comites, egregie deducunt, ad ſuam uſque domum quemque antecedentes. Ceterum contumelioſos, ut par eſt, puniunt; inſiliunt enim, et veſtes eorum lacerant, et eatenus caſtigant: eos vero, qui furari praedarive moliuntur, crudeliſſime dilaniant.

CAP. XXI.

De Cochlea in mari Rubro.

In Rubro mari cochlea marina tum ſpecie pulcherrima, tum maxima naſcitur. Teſta ei purpurea, et in ejus medio ſpira, ſive voluta, mira colorum varietate et veluti floribus nativis diſtincta; ſertum diceres ſummo artificio et ornatu contextum, e floribus multijugis, viridibus, aureis, rubicundis, per aequa digeſtis intervalla.

CAP. XXII.

Quod Delphinus ſemper movetur.

Delphinum perpetuo motu praeditum eſſe ferunt, adeo quidem ut motus finis ei terminus vitae ſit. Cum enim ſomno indiget, ex alto ad ſummam aquam elatus, ut totus videatur, dormit; neque enim inſomnis eſt, aut dei illius expers.

Quando

μένων προχείρως εὐμενής τε ἅμα ϗ ἵλεως εἰσόμεθα· νῦν δὲ ϗ ἐκεῖνα εἰρήσεται. Κύνες εἰσὶν ἱεροὶ, ϗ οἵδε θεραπευτῆρες αὐτȣ, ϗ λατρεύοντές οἱ, ὑπεραίροντες τὸ κάλλος τȣς Μολοττȣς κύνας, ϗ σὺν τȣτῳ ϗ τὸ μέγεθος, χιλίων ȣ μείȣς τὸν ἀριθμόν. Οὐκȣν ȣτοι μεθ' ἡμέραν μὲν αἰκάλλȣσί τε ϗ σαίνȣσι τȣς ἐς τὸν νεὼν ϗ τὸ ἄλσος παριόντας, εἴτε εἶεν ξένοι, εἴτε ἐπιχώριοι. Νύκτωρ δὲ τȣς μεθύοντας ἤδη, ϗ σφαλλομένȣς κατὰ τὴν ὁδὸν, οἵδε πομπῶν δίκην ϗ ἡγεμόνων τε μάλα εὐγενῶς ἄγȣσι, προηγȣμενοι ἐς τὰ οἰκεῖα ἕκαστον. Καὶ τῶν μὲν παροινȣντων τιμωρίαν ἀρκȣσαν εἰσπράττονται, ἐμπηδῶσι γὰρ, ϗ τὴν ἐσθῆτα αὐτοῖς καταῤῥηγνύȣσι, ϗ σωφρονȣσιν ἐς τοσȣτον αὐτȣς· τȣς γε μὴν πειρωμένȣς λωποδυτεῖν διασπῶσι πικρότατα.

ΚΕΦ. κά.

Περὶ Κοχλίȣ τȣ ἐν τῇ Ἐρυθρᾷ θαλάττῃ.

Κοχλίας δὲ ἄρα θαλάττιος ὁ ἐν τῇ Ἐρυθρᾷ θαλάττῃ γινόμενος, ὡραιότατος ἰδεῖν ἦν, ϗ μέγιστος. Ἔστι μὲν γὰρ φοίνιξ τὸ ἔλυτρον, ἔχει δὲ ϗ ἕλικα μεστὴν, διηνθισμένην ϗ πεποικιλμένην ὑπὸ τῆς φύσεως· κόσμῳ δὲ περιττῷ στέφανον ἂν εἴποις ὁρᾷν, ἔκ τινος πολυχροίας ἀνθῶν ποικίλης διαπλακέντα, πρασίνων τε, ϗ χρυσοειδῶν, ϗ κινναβαρίνων, ἐναλλὰξ τῶν χρωμάτων κατεσπαρμένων τοῖς διαστήμασιν ἴσοις.

ΚΕΦ. κβ΄.

Ὅτι ἀεικίνητος ὁ Δελφίς.

ΤΟΝ δελφῖνα ἡ φύσις ἀεικίνητον εἰργάσατο, ὥς φασι, ϗ πέρας τȣτῳ τῆς κινήσεως τὸ ϗ τȣ βίȣ τέλος. Ὕπνȣ γȣν δεόμενος μετεωρίσας τὸ σῶμα, ϗ ἀναπλεύσας ἐπ' ἄκρον τὸ ὕδωρ, ὡς ὁρᾶσθαι πᾶς, καταδαρθάνει τηνικάδε· ἄϋπνος δὲ, ϗ ἄμοιρος τȣδε τȣ θεȣ, ȣδὲ ȣτός ἐστιν. Ὅτε γȣν καθεύ-

Quando autem dormit, in profundum tamdiu depellitur, quoad imam ſedem maris contingat; ad quam poſtquam funditus delapſus eſt, in ſolum impulſus e ſomno excitatur, et rurſum emergit: deinde iterum in ſomnum actus, et a deo illo victus, fundum petit, et ſimili impulſu excitatus, rurſus natat ſuper aquam: et hoc ipſum ſaepe facit, eamque ob cauſam inter quietem et actionem medius nunquam omnino a motu quieſcit.

CAP. XXIII.

De Citharoedo piſce.

In mari Rubro piſcis procreatur, cujus corpus ita figuratum eſt, ut ſimilitudinem lingulacae ejus latitudo gerere feratur. Ejus ſquamae tangenti non valde aſperae ſunt; ſubaureo eſt colore; tum lineis a ſummo capitis vertice ad extremam caudam nigris ſic diſtinguitur, ut eas citharae fidiculas contentas eſſe dicas, unde is citharoedus appellatur; os ei peſſum it et ſubſidet, idemque nigerrimum eſt, cinguloque croceo circumligatur; vertex varietate diſtinguitur, fulgore aureo, et nigris quibuſdam lineis; pinnas aureas habet; cauda vero nigra eſt, praeter extrema, quae candidiſſimo colore adſperguntur. Alii item citharoedi picti naſci dicuntur, toto corpore purpurei, certis intervallis aureolas lineas poſſidentes; eorum vero caput cingulis violaceis illuſtratur, uno ante oculos ad branchias pertinente, altero ſecundum oculos uſque ad medium caput excurrente, alio autem tanquam monili ſic collum circumplicante.

δει, ὠθεῖται εἰς βυθὸν, ἕως ψαύσῃ τῆς κάτω γῆς· ὅταν δὲ προσπελασθῇ αὐτῇ, διυπνίζεται κρουσθεὶς πρὸς τὸ δάπεδον, εἶτα ἀναδύνει· καὶ πάλιν εἰς ὕπνον ὑπαχθεὶς, καὶ νικώμενος τοῦ θεοῦ, καταλισθαίνει, καὶ αὖθις ἀφυπνισθεὶς τῇ αὐτῇ κρούσει ἀναπλεῖ πάλιν· καὶ πολλάκις δρᾷ τοῦτο, μεταξὺ ἡσυχίας καὶ ἐνεργείας ὢν, οὐ μὴν εἰς ἀκινησίαν ἐκπίπτων παντελῆ ποτε.

ΚΕΦ. κγ΄.

Περὶ ἰχθύος τοῦ λεγομένου Κιθαρῳδοῦ.

ΕΝ τῇ Ἐρυθρᾷ θαλάττῃ γίνεται ἰχθὺς πλατὺς τὸ σχῆμα κατὰ τὴν βούγλωττον, ὥς φασι. Καὶ φολίδας μὲν οὐ σφόδρα τραχύς ἐστι προσαψαμένῳ· τὴν δὲ χρόαν ὑπόχρυσός ἐστι, μελαίναις τε γραμμαῖς ἐς τὸ οὐραῖον ἀπὸ τῆς κεφαλῆς ἄκρας καταγέγραπται, εἴποι τις ἂν αὐτὰς εἶναι χορδὰς ἐκτεταμένας, ἔνθεν τοι καὶ ἰχθὺς αὐτὸς κιθαρῳδὸς κέκληται· τὸ στόμα δὲ αὐτῷ συνίζει, καὶ ἔστι μέλαν ἰσχυρῶς, ζώνῃ γε μὴν κροκοειδεῖ κατείληπται· πεποίκιλται δέ οἱ ἡ κορυφὴ διαφόρως, τῇ τε χρυσοειδεῖ αὐγῇ, καὶ μέντοι καὶ μελαίναις τισὶ περιγραφαῖς· πτερύγια χρυσοειδῆ ἔχει· μέλαινα δὲ αὐτῷ ἡ οὐρὰ, πλὴν τῶν ἄκρων· ταῦτα δὲ λευκὰ ἰσχυρῶς. Καὶ ἄλλοι δὲ ᾄδονται κιθαρῳδοὶ στικτοὶ τίκτεσθαι· καί εἰσι πορφυροὶ μὲν τὸ πᾶν σῶμα· γραμμὰς δὲ ἐκ διαστημάτων ἔχοντες χρυσᾶς· ζώνας δὲ ἔχουσι ἐπὶ τῇ κεφαλῇ ἴοις τοῖς ἄνθεσι παραπλησίας, τὴν μὲν πρὸ τῶν ὀφθαλμῶν μέχρι τῶν βραγχίων καθέρπουσαν, τὴν δὲ μετὰ τοὺς ὀφθαλμοὺς ἐς τὸ ἥμισυ τῆς κεφαλῆς προχωροῦσαν, τὴν δὲ περιθέουσαν κατὰ τῆς δέρης ὡς ὅρμον.

CAP. XXIV.

De Pardali pisce et Oxyryncho in mari Rubro.

PARDALIS piscis, ut ii, qui ipsum viderunt, dicunt, in mari Rubro nascitur; colore et maculis orbiculatis similis est montanae pardali. Oxyrynchus, quem idem mare alit, ore est praelongo, oculis auri instar fulgentibus, palpebris albis; ejus dorso puncta pallore insignita sunt, pinnae priores ei nigrae existunt, eae vero in dorso albae; cauda forma oblonga et colore viridis est, quam mediam aureola linea intersecat.

CAP. XXV.

De Hinnulo cervi Ptolemaei.

PTOLEMAEO secundo, quem et Philadelphum cognominant, hinnulus cervi dono datus est, qui sermone Graecanico enutritus loquentes intelligebat; cum ante visum et auditum hoc animal solam Indorum linguam cervi intelligere crederentur.

CAP. XXVI.

Quod Sexum masculum etiam inter Bruta natura praeferat.

SEXUS masculus etiam inter bruta videtur a natura praeferri. Siquidem draco mas insignis est crista, et barba hirsutus; gallinaceus et ipse cristatus, paleas insuper veluti barbam gerit; cervus cornutus, leo jubatus, cicada mas canorus est.

CAP.

ΚΕΦ. κδ΄.

Περὶ Παρδάλεως ἰχθύος τοῦ ἐν τῇ Ἐρυθρᾷ, καὶ τοῦ ἐν αὐτῇ Ὀξυρύγχου.

Πάρδαλις δὲ ἰχθῦς ἐν τῇ Ἐρυθρᾷ φύεται θαλάττῃ, ὡς οἱ θεασάμενοι λέγουσι· καὶ ἔοικε τὴν χροιὰν καὶ τὰ στίγματα τὰ περιφερῆ τῇ ὀρείῳ παρδάλει. Ὁ δὲ ὀξύρυγχος ὁ ἐνταῦθα γινόμενος, ἔχει μὲν πρόμηκες τὸ στόμα, τοὺς δὲ ὀφθαλμοὺς χρυσοειδεῖς, τὰ δὲ βλέφαρα αὐτῷ λευκά· τῷ δὲ νώτῳ οἱ σημεῖά τε ἐπέστικται ὠχρά, καὶ πτέρυγες αὐτῷ, αἱ μὲν πρῶται μέλαιναι, αἱ δὲ νωτιαῖαι λευκαί· ἡ οὐρὰ προμήκης τὸ σχῆμα, τὴν δὲ χρόαν πράσινός ἐστι, μέσην δὲ αὐτὴν διείληφε χρυσοειδὴς γραμμή.

ΚΕΦ. [illegible]

Περὶ τῆς τοῦ Πτολεμαίου Ἐλάφου.

Τῷ Πτολεμαίῳ τῷ δευτέρῳ, ὃν καὶ Φιλάδελφον καλοῦσι, βρέφος ἐλάφου δῶρον ἐδόθη, καὶ τῇ φωνῇ ἀνετράφη τῇ Ἑλλάδι, καὶ λαλούντων συνίει· ἐπεπίστευτο δὲ πρὸ τούτου τοῦ ζώου τῆς Ἰνδῶν μόνης φωνῆς ἐπαΐειν τοὺς ἐλάφους.

ΚΕΦ. κς΄.

Ὅτι κᾀν τοῖς Ἀλόγοις προτιμᾶται ὁ Ἄῤῥην φύσει.

Ἔοικε δὲ ἄρα καὶ ἐν τοῖς ἀλόγοις ὑπὸ τῆς φύσεως προτιμᾶσθαι τὸ ἄῤῥεν. Ἔχει γοῦν ὁ μὲν δράκων ὁ ἄῤῥην τὸν λόφον, καὶ τὴν ὑπήνην δασεῖαν· ὁ δὲ ἀλεκτρυὼν, καὶ οὗτος λόφον, καὶ τὰ κάλλεα· ὁ δὲ ἐλέφας τὰ κέρατα, χαίτην ὁ λέων, ὁ τέττιξ φωνήν.

CAP. XXVII.

Quod exigui Praetextus magnorum Bellorum causae fuerint.

GRAECIS et Trojanis belli causam Helena, ut aiunt, dedit. Darii uxor Atossa, quod ancillas Atticas et Ionicas habere desideraret, Persis ad bellum Graecis inferendum argumentum dedit. Tabella contra Megarenses proposita causam attulit Graecis diuturni belli. Magnetes atque Ephesios locusta ad bellum excitavit, atque inflammavit. Columba Chaonas et Illyricos in bellum commisit. Thebani in Aegypto propter canem contra Romanos pugnasse dicuntur.

CAP. XXVIII.

Quod Res parvae ingentes Motus excitarunt.

PYTHOCHAREN tibicinem fama est concitato et vehementi tibiae sono luporum impetum cohibuisse. Murium multitudo Megarenses sedibus pepulit, Phaselitas vespae fugarunt, Rhoetienses scolopendrae.

CAP. XXIX.

De Ovibus, quae felle carent, idemque duplex habent.

OVES in Ponto sine felle nasci aiunt; in Naxo vero insula etiam duplici.

CAP. XXX.

De Meropum pietate in parentes.

MEROPS avis hoc nomine ciconiis etiam justior est, quod parentes non senectute demum adfectos alit; sed ut pri-

mum

ΚΕΦ. κζ'.

Ὅτι καὶ μικραὶ Προφάσεις πολλάκις αἰτίαι μεγάλων Πολέμων γεγόνασι.

ΥΠόθεσις μὲν τοῖς Ἀχαιοῖς καὶ τοῖς Τρωσὶ τοῦ πολέμου ἡ Διὸς Ἑλένη, φασί. Καὶ Πέρσαις πρὸς τοὺς Ἕλληνας Ἄτοσσα ἡ Δαρείου γυνὴ, ποθήσασα θεραπαίνας κτήσασθαι Ἀττικὰς καὶ Ἰάδας. Καὶ τοῦ μακροῦ πολέμου τοῖς Ἕλλησι τὸ πινάκιον τὸ κατὰ τῶν Μεγαρέων. Μάγνητας δὲ καὶ Ἐφεσίους εἰς πόλεμον ἀκρὶς ἐξῆψε. Περιστερὰ δὲ Χάονας καὶ Ἰλλυριούς. Θηβαῖοι δὲ ἐν Αἰγύπτῳ ὑπὲρ κυνὸς πρὸς Ῥωμαίους πολεμῆσαι λέγονται.

ΚΕΦ. κή.

Ὅτι καὶ μικρὰ Αἴτια πολλάκις μεγάλας Ὁρμὰς ἔστησαν.

ΛΕγει τις λόγος Πυθοχάρην τὸν αὐλητὴν ἀναστεῖλαι λύκων ὁρμὴν, αὐλήσαντα σύντονον καὶ γενναῖον αὔλημα. Μυῶν δὲ πλῆθος ἀνέστησε Μεγαρέας, Φασηλίτας δὲ σφῆκες, σκολοπένδραι δὲ Ῥοιτιεῖς.

ΚΕΦ. κθ'.

Περὶ Προβάτων ἀχόλων τε, καὶ διχόλων.

ΠΡόβατα ἄχολα ἐν τῷ Πόντῳ φασὶν, ἐν δὲ τῇ Νάξῳ τῇ νήσῳ καὶ δίχολα.

ΚΕΦ. λ'.

Περὶ τῆς τῶν Μερόπων ὀρνίθων δικαιοσύνης.

Ο Μέροψ ὄρνις ταύτῃ τοι δοκεῖ δικαιότερος εἶναι τῶν πελαργῶν· οὐ γὰρ ἀναμένει γηράσαντας ἐκτρέφειν τοὺς

πατέρας,

mum majores alarum pennae ei natae fuerint, id facit. Itaque inter aves juſtiſſima et piiſſima omnium habetur.

CAP. XXXI.

Quod Deus etiam Brutarum animantium curam agat.

HOC peculiare bonum quoque animalibus contigit; quod diis curae ſint, neque vel contemnantur ab eis, vel negligantur. Nam ut ratione careant, ſuo tamen intellectu, et conveniente eis ſapientia, non deſtituuntur. Quomodo autem a diis amentur, dicam, ſi non multa e multis, tantum tamen, quantum ſatis fore videbitur. Vir quidam, Lenaeus nomine, equum poſſidebat et forma ſpecioſum, et curſu celerrimum, et animo intrepidum; quique in ſpectaculis curſum, ad quem inſtitutus erat, egregie decurrebat, et in bello fortitudinem tolerantiamque ſuam cum alias declarabat, tum perſequendo ſi opus eſſet, tum retrocedendo tempeſtive. Propter haec igitur omnia commendabilis equus dominum ſuum inter ceteros equites quam celeberrimum reddebat. Hic equus adeo eximius ictu quodam dextro oculo laeſus, eoque captus eſt. Et cum Lenaeus ſpem ſuam omnem propter hunc equi caſum vacillare videret (nam laevo ejus oculo, ſoli adhuc integro, ſcutum equeſtre et alia [arma] tenebras offundebant) Serapidis templum adit, adducto ſecum ceu victima quadam equo; et pro eodem deum precatur, ceu fratre aut filio, et ut ſupplicem inſontem miſereatur orat; hujus enim calamitatis cauſam ab hominum quorundam ſive facto nefario, ſive mali ominis dicto, eſſe profectam. Equus vero quonam pacto, dicebat, vel ſacrilegium, vel caedem, vel blaſphemiam committeret? Per ſuam quoque innocentiam, ut qui nemini unquam injurius fuiſſet, deum obteſtabatur; et propterea, ut commilitonis

πατέρας, ἀλλὰ ἅμα τῷ φῦσαι τὰ ὠκύπτερα τοῦτο ἐργάζεται. Καὶ ἔστι δικαιότερος καὶ εὐσεβέστατος ὀρνίθων ἁπάντων.

ΚΕΦ. λά.

Ὅτι καὶ τῶν Ἀλόγων πρόνοιαν ποιεῖται τὸ Θεῖον.

Ἴδιον δὲ ἄρα τῶν ζώων καὶ ἐκεῖνο ἀγαθόν· Πρόνοιαν αὐτῶν καὶ οἱ θεοὶ ποιοῦνται, καὶ οὔτε αὐτῶν καταφρονοῦσιν, οὐδὲ μὴν ὀλιγώρως ἔχουσιν. Εἰ γὰρ καὶ ἀμοιρεῖ λόγου, ἀλλὰ γοῦν συνέσεως, καὶ τῆς καθ' ἑαυτὰ σοφίας, οὐκ ἔστιν ἀτυχῆ. Ὅπως δ' οὖν καὶ αὐτὰ φιλεῖται θεοῖς, ἐρῶ, καὶ εἰ μὴ πολλὰ ἐκ πολλῶν, ὅσα δ' οὖν ἀποχρήσει, τοσαῦτα. Ἀνὴρ ἱππεὺς τὴν στρατείαν, Ληναῖος τὸ ὄνομα, ἵππον εἶχεν ἰδεῖν μὲν ὡραῖον, δραμεῖν δὲ ὤκιστον, τὸν δὲ θυμὸν ἀνδρειότατον· καὶ ἀγαθὸν μὲν ἐν ταῖς ἐπιδείξεσι τὴν ἱππείαν περιδραμεῖν τὴν δεδιδαγμένην, καρτερικὸν δὲ ἐν αὐτῷ τῷ πολέμῳ, καὶ διῶξαι ἔνθα ἦν καιρὸς, καὶ ἀναχωρῆσαι ἔνθα αὐτὸν χρεία παρεκάλει, πάνυ γεννικόν. Οὐκοῦν ἐκ τούτων ἁπάντων ὁ μὲν κτῆμα ἦν ἀγαθὸν, ὁ δὲ εὐκλεέστατος ἐν τοῖς ὁμοτέχνοις ἱππεῦσιν ἐδόκει. Ὁ τοίνυν ἵππος, ὁ τοιοῦτος τὴν ἱππικὴν ἀρετὴν, θατέρῳ τοῖν ὀφθαλμοῖν τῷ δεξιῷ ὑπό τινος πληγῆς προσπεσούσης ὁρᾶν ἀδύνατος ἦν. Οὐκοῦν ὁ Ληναῖος ὁρῶν ἑαυτοῦ σαλεύουσαν τὴν πᾶσαν ἐλπίδα ἐν τῷ τοῦ ἵππου τοῦ εὐγενοῦς ἐκείνου πάθει (ἐπεὶ τὰ ἄλλα καὶ ἀσπὶς ἡ ἱππικὴ τὸν λαιὸν ὀφθαλμόν οἱ ἔσκεπε, τὸν μόνον ὁρῶντα) εἰς τοῦ Σαράπιδος ἔρχεται, θρέμμα ἀνάγων, καὶ μάλα ἀληθὲς, ὥσπερ οὖν ἱερεῖον τὸν ἵππον, καὶ δεῖται τοῦ θεοῦ, ὡς ὑπὲρ ἀδελφοῦ τινος ἢ υἱοῦ ὁ Ληναῖος τοῦ ἵππου, οἰκτεῖραι τὸν οἰκέτην, καὶ ταῦτα ἀδικήσαντα οὐδέν· εἶναι γάρ τινας ἀνθρώπους σφίσι κακῶν αἰτίους, ἢ δράσαντάς τι ἀσεβὲς, ἢ εἰπόντας τι ἀπόφημον. Ἵππου δὲ, ἔλεγε, ποία μὲν θεοσυλία, φόνος δὲ τίς, βλασφημία δὲ πῶς, ἢ πόθεν; Ἐμαρτύρατο δὲ τὸν θεὸν καὶ αὐτὸς, ὡς οὐδεπώποτε οὐδένα οὐδὲν ἀδικήσας· καὶ διὰ ταῦτα τὸν συστρατιώτην οἱ καὶ φίλον

ἐδεῖτο

militonis ac amici ſui oculum reſtitueret, rogabat. Tum deus utcunque magnus non neglexit, neque contempſit brutum mutumque animal; et pariter ipſius, et ſupplicantis miſertus, remedium dictat: jubetque oculum equi non quidem perfundi liquido ullo remedio, ſed fomentis per meridiem in ambitu templi calefieri. His peractis, equi oculus redintegratus eſt; et Lenaeus quidem deo ſacrificia, quibus grates et praemia recuperatae valetudinis equi deo perſolveret, peregit. Equus vero ſaltabat, et hinniebat circa templum: jamque grandior et formoſior videbatur, ſeque veluti oſtentans ad aram uſque non ſine ambitione accurrebat; denique circa gradus ſe volutans deo ſervatori, quo poſſet modo, gratias ſe agere prae ſe ferebat.

CAP. XXXII.
De Aſpide.

VINITOR dum ſcrobem fodit, pulchram et generoſam vitem plantaturus, ligonis ictu aſpidem ſacram et minime infeſtam hominibus, quae forte illic latebat, imprudens mediam diſſecuit. Deinde cum terram dimoveret, poſteriorem ejus partem, quae caudam continet, in arena jacentem reperit; anteriorem vero, quae a ventre ad cervicem tendit, adhuc reptantem et ex diſſectione cruentam. Quamobrem obſtupefactus et mentis impos, totus ad inſaniam, eamque vehementem redactus eſt. Et cum interdiu non apud ſe, nec rationis compos erat, tum noctu etiam delirans e lecto exſiliebat, et aſpidem ſe perſequi dictitabat, et veluti morſu laeſus terribili clamore vociferabatur, et auxilium implorabat, et interemptae ab ipſo aſpidis ſimulacrum ſe videre aiebat, idque frendens et minans, et aliquando morſu ſe impetitum ejulatu quidem dolere ſe arguebat. Cum autem jam aliquandiu duraſſet morbus, cognati ejus ſupplicem ipſum in ae-
dem

ἐδεῖτο τῆς ὀφθαλμίας ἀπαλλάξαι τὸν θεόν· ὁ δὲ, οὐχ ὑπερορᾷ, οὐδὲ ἐξεφαύλισε τὸν ἄλογόν τε ϗ ἄφωνον ἰάσεσθαι, ὧν τοσοῦτος θεός· ϗ διὰ ταῦτα οἰκτείρει ϗ τὸν νοσοῦντα, ϗ τὸν δεόμενον ὑπὲρ αὐτοῦ, ϗ δίδωσιν ἴασιν· μὴ καταιονᾷν μὲν τὸν ὀφθαλμὸν, πυριάσεσι δὲ αὐτὸν ἀλεαίνειν, μεσούσης ἡμέρας, ἐν τῷ τοῦ νεὼ περιβόλῳ. Καὶ ταῦτα μὲν ἐπράττετο, ἐῤῥώσθη δὲ τῷ ἵππῳ τὸ ὄμμα· ϗ ὁ μὲν Ληναῖος χαριστήριά τε ϗ ζωάγρια ἀπέθυεν. Ὁ δὲ ἵππος ἐσκίρτα τε, ϗ περὶ τὸν νεὼν ἐφριμάττετο· ϗ ἐδόκει μείζων τε ϗ ὡραιότερος, ϗ ἦν φαιδρὸς, ϗ τῷ βωμῷ προσθέων ἐκυδροῦτο· ϗ μέντοι ϗ πρὸς τοῖς ἀναβαθμοῖς καλινδούμενος ἑωρᾶτο τῷ θεῷ τῷ Σωτῆρι χαριστήρια ἐκτίνων, ἧπερ οὖν ἔσθενεν.

ΚΕΦ. λβ΄.

Περὶ Ἀσπίδος.

ΕΝ ἀμπέλῳ δὲ γεωργὸς εἰργάζετο τάφρον, ἵνα ἐμφυτευθῇ καλὸν κλῆμά τε ϗ εὐγενές· εἶτα τὴν σμινύην καταφέρων ὑποικουροῦσαν ἀσπίδα ἱερὰν, ϗ ἀνθρώπων ἥκιστα ἐχθρὰν, λαθὼν διέκοψε μέσην. Καὶ τὴν γῆν διαξαίνων, τὸ μὲν οὐραῖον βλέπων τῇ ψάμμῳ κατειλημμένον· τὸ δὲ ἡμίτομον τὸ ἐκ τῆς γαστρὸς ἐς τὴν δέρην ἀνιὸν, ἔτι ἕρπον ϗ τοῦ λύθρου τοῦ διὰ τὴν τομὴν πεπληρωμένον, ϗ ἐκπλήττεται, ϗ ἔκφρων γενόμενος εἴς τε ὀρθὴν μανίαν, ϗ ὡς τὰ μάλιστα ἰσχυρὰν, ἐκφοιτᾷ. Καὶ μεθ' ἡμέραν ἑαυτοῦ τε, ϗ τοῦ λογισμοῦ ἦν ἀκράτωρ· ϗ μέντοι ϗ νυκτὸς ἡνίκα παράφορος, ϗ ἐκ τοῦ λέχους ἀνεθόρνυτο, ϗ ἔλεγε τὴν ἀσπίδα διώκων, ϗ ὥσπερ οὖν ὁμοῦ τι τῷ δήγματι ὢν ἐκπληκτικώτατος ἐβόα, ϗ ἐκάλει συμμάχους, ϗ μέντοι ϗ τῆς ἀνῃρημένης ὑπ' αὐτοῦ τὸ εἴδωλον ἔλεγεν ὁρᾷν, βριμούμενόν τε ϗ ἀπειλοῦν, ϗ ὡμολόγει πολὺ ϗ δεδῆχθαι, ϗ ὡς ὠδυνᾶτο ἐξ ὧν ᾤμωξεν, ἦν δῆλος. Ἐπεὶ μέν οἱ ἡ νόσος

dem Serapidis ducunt, deumque, ut ſpectrum illud aſpidis amoliri et cohibere dignetur, orant. Miſertus ille, virum curat. Quemadmodum inulta non manſerit aſpis, dictum, et quidem ſufficienter prorſus.

CAP. XXXIII.

De Pavone.

AEGYPTIORVM rex cum Indicum pavonem maximum pulcherrimumque dono accepiſſet, noluit cum gregariis ceteris eum alere, vel cibi gratia, vel familiae oblectamenti; itaque Iovi, urbis cuſtodi, eum conſecravit, dignum hoc deo munus hujuſmodi alitem judicans. Hujus deinde capiendae deſiderio ventri ac luxui deditus juvenis quidam locuples, ut ſplendide epularetur, captus eſt; ſolebat enim ſemper indulgere gulae, et varias quaerebat dapes, etiam cum periculo, quavis occaſione, quovis pretio, lucrum exiſtimans omnia, quibus ſuam delectaret improbitatem, et ſatiaret ingluviem. Mercedem igitur hujus ſacrilegii amplam uni ex miniſtris dei largitur, et inſuper aliam promittit. Is vero ſpe vana inductus eum acceſſit ad locum, ubi morari alitem norat, et capere juveni adferendam aggreſſus eſt; ſed non apparuit pavo, et loco illius aſpis viſa eſt, erecta, et adverſus ipſum irata. Quare territus retroceſſit; cum vero guloſus ille urgeret et inſtigaret, miniſter ad pavonem venit; qui mox ambabus alis in aerem elevatus, neque in ſacra aliqua arbore conſedit, neque in alio ſublimi et excelſo loco, ſed in medio quodam inter templum [et ipſos] unde intrepide illos adſpectans prae ſe ferre hoc videbatur, ſe illorum inſidiis ſuperiorem eſſe, neque capi ab eis poſſe. Itaque re infecta luxurioſus ille

πόῤῥω τοῦ χρόνου ἦν, οἱ προσήκοντές οἱ τὸν ἄνδρα ἐς τοῦ Σαράπιδος ἄγουσιν ἱκέτην, ϗ ἐδέοντο ἀναστεῖλαι ϗ ἀφανίσαι τῆς προειρημένης τὸ φάσμα. Οἰκτείρει μὲν οὖν τὸν ἄνδρα ὁ θεὸς, ϗ ἰᾶται. Ὡς δὲ ἀτιμώρητος οὐκ ἔμεινεν ἡ ἀσπὶς, εἴρηται, ϗ πάνυ γε ἀποχρώντως.

ΚΕΦ. λγʹ.

Περὶ Ταώ.

ΤΑὼν δὲ Ἰνδικὸν δῶρον λαβὼν ὁ τῶν Αἰγυπτίων βασιλεὺς, ταῶν ὡς ἰδεῖν μέγιστόν τε ϗ ὡραιότατον, οὐκ ἀξιοῖ σὺν τοῖς ἀγελαίοις τρέφειν, ὡς οἰκίας ἄθυρμα αὐτὸν εἶναι, ἢ γαστρὸς χάριν· ἀλλὰ ἀνάπτει τῷ Πολιεῖ Διῒ, κρίνας ἀνάθημα ἐπάξιον τῷ θεῷ τὸν ὄρνιν τὸν προειρημένον. Ἐρᾷ τοῦτον συλλαβεῖν ἄσωτος νεανίας, ϗ πάνυ γε πλούσιος, ϗ ποιήσασθαι δεῖπνον· ἀεὶ γὰρ τῇ γαστρὶ ἐχαρίζετο, ϗ ἐξ ἁπάσης αἰτίας ὁ ἄσωτος οὗτος τὸ ποικίλον τῆς τροφῆς, ϗ τὸ σὺν κινδύνῳ πορισθὲν, ϗ τὸ ἐωνημένον πολλοῦ, τρόπῳ βδελυρίας ϗ λαιμαργίας ὑπερβολῇ, κέρδος ἡγέμενος εἰς ἡδονήν. Μισθὸν οὖν τῆς θεοσυλίας ἁδρὸν προτείνει τινὶ τῶν τοῦ θεοῦ θεραπευτήρων, ϗ ὑπισχνεῖται ϗ ἄλλον. Ὁ δὲ ἐλπίδι κουφισθεὶς ματαίᾳ, ἔνθα ᾔδει τὸν ὄρνιν αὐλιζόμενον ἐλθὼν, ἐπεχείρει συλλαβεῖν, ϗ τῷ πλουσίῳ κομίσαι· ϗ ἐκεῖνον μὲν οὐχ ὁρᾷ, μεγίστην δὲ ἀσπίδα ὀρθὴν εἶδε, ϗ ἐπ' αὐτὸν τεθυμωμένην. Καὶ τὰ μὲν πρῶτα ἔδεισε, ϗ ὑπαπῆλθεν· ἐγκειμένου δὲ τοῦ ἀσώτου ϗ παρορμῶντος, ὁ ὑπηρέτης ἐπὶ τὸν ταὼν ἦλθεν· ὁ δὲ ἀμφοτέρων αἴξας, ϗ ἑαυτὸν τοῖς πτεροῖς μετεωρίσας, ϗ ἀρθεὶς κοῦφος, οὔτε ἐπί τι τῶν ἱερῶν δένδρων ἐκάθισεν, οὔτε ἐπ' ἄλλον μετέωρόν τε ϗ ὑψηλὸν χῶρον, ἀλλὰ ἐπί τι μέσον τοῦ θεοῦ τοῦ νεὼ, ϗ εἰς αὐτοὺς ἀτρέπτως ἑώρα, οἷον ὑποφαίνων ὅτι ἄρα τῆς ἐπιβουλῆς τῆς ἐκείνων κρείττων πέφυκε, ϗ οὐκ ἔστιν αὐτοῖς ἑλεῖν αὐτόν. Οὐκ-

ille pecuniam expenſam repetit. Negat ille ſe redditurum, quod quantum in ſe eſſet, nihil non feciſſet, rem vero ſacram deo auferre nequiret. Hinc, ut veriſimile eſt, ortam contentionem, et clamores, multi audiverunt; et tandem ſummus quoque ſacerdos ſuperveniens litis in aede cauſam ſciſcitatur. Illi ſe invicem accuſant: et juvenis ille dives minis, conviciis, et maledictis adfectus diſcedit, et alterius cujuſdam avis oſſe deglutito, magno cum dolore e vita migravit, miniſtrum vero improbum illum, utpote ſacrilegum, civitatis princeps punivit. Avis ab eo tempore neque viva, neque mortua, viſa eſt; ſed, cum annis centum, ut ferunt, vixiſſet, evanuit.

C A P. XXXIV.

De Muraena, et quemadmodum ea ſanatus fuerit, qui ſerpentis ova comederat.

HUC et illud pertinet. Vir quidam, Ciſſus nomine, Serapidis cultui deditiſſimus, petitus inſidiis mulieris, quam prius amatam, deinde uxorem duxerat, cum ova ſerpentis devoraſſet, dolore angebatur et miſere affligebatur, ita ut a morte parum abeſſe videretur. Rogatus autem ab eo deus muraenam vivam praecepit emendam, et manum vivario ſeu vaſi, in quo ſervaretur, immittendam. Paret ille, et manum immittit; cui muraena mordicus inhaeret, et cum avelleretur, morbum juvenis illius in ſe attraxit ſimul. Sic muraenae hujus, divinae Serapidis curationis miniſtrae ad nos quoque fama pervenit.

ἒν ἐπεὶ μηδὲν ἤνυσο, ὅπερ ἦν προδὲς ἀργύριον ὁ ἄσωτος ἀπῄτει λαβεῖν· ὁ δὲ ἐκ ἀπεδίδε, λέγων ποιῆσαι μὲν τὰ ἑαυτȣ̃ πάντα, ἀδύνατος δὲ εἶναι θεῶν κτῆμα ὑφελέσθαι. Οἷα ἒν εἰκὸς ἦν ἔρις ὑπὲρ τέτων ϗ βοὴ ἤδη, ϗ ἤκεον πολλοί· εἶτα ἄνεισιν ὁ ἐπὶ πᾶσιν ἱερεὺς, ϗ ἐρωτᾷ τῆς ἐν τῷ νεῷ φιλονεικίας τὴν ὑπόθεσιν. Καὶ ἐλέγχεσιν ἀλλήλες· ϗ ὁ μὲν πλέσιος ἀπειλαῖς, ϗ βλασφημίαις, ϗ λοιδορίαις αἰκισθεὶς ἀπαλλάττεται, ϗ ὄρνιθος ἄλλε καταπιὼν ὀςέον, ϗ ὀδυνώμενος τὸν βίον κατέςρεψεν ἀλγεινότατα· τὸν δὲ ὑπηρέτην τὸν κακὸν, οἷαδήπε ἱερόσυλον, ὁ τῆς πόλεως ἁρμοςὴς ἐκόλασεν. Τὸν δὲ ὄρνιν ἔτε ζῶντα, ἔτε νεκρὸν, ἐθεάσαντο· ἀλλὰ ἐκαλον, ὡς ὁ λόγος, ἔτη διαβιώσας, εἶτα ἠφανίσθη.

ΚΕΦ. λδʹ.

Περὶ Μυραίνης, πῶς δι᾽ αὐτῆς ἐσώθη ὁ φαγὼν ὄφεως ὠά.

ΚΑΙ ἐκεῖνο δὲ ἔοικε τέτῳ ϗ ὁμολογεῖ. Κίσσος ὄνομα, θεραπεύων τὸν Σάραπιν ἰσχυρῶς, ἐπιβελευθεὶς ὑπὸ τῆς πρότερον μὲν ἐρωμένης, ὕςερον δὲ γαμετῆς, ϗ ὠὰ ὄφεως φαγὼν, ὠδυνᾶτο, ϗ ἑαυτῷ κακῶς εἶχε, ϗ ἐπίδοξος τεθνήξεσθαι ἦν. Δεῖται δὲ τȣ̃ θεȣ̃· ὁ δὲ προσέταξε πρίασθαι μύραιναν ζῶσαν, καθεῖναι δὲ τὴν χεῖρα εἰς τὸ ζώγριον. Καὶ ὁ Κίσσος πείθεται, ϗ καθίησιν· ἡ δὲ ἐμφῦσα εἴχετο, ἀποσπωμένη δὲ ϗ τὴν νόσον τὴν ἐν τῷ νεανίᾳ ςυνέσπασεν. Ὑπηρέτις μὲν δὴ θεȣ̃ θεραπείας ἡ μύραινα αὕτη γενομένη, ϗ εἰς ἀκοὴν τὴν ἡμετέραν ἀφίκετο.

CAP. XXXV.

Quod Chrysermus, cum sanguinem taurinum bibisset, et Bathylis phthisi laborans, a Serapide curati sunt.

IDEM hic deus, imperante Nerone, Chrysermum, qui revomebat sanguinem, et contabescebat, epoto tauri sanguine, curavit. Haec eo proposito mihi referuntur, ut significem animalia tam grata esse diis, ut et ab iis serventur, et ipsa quoque alios eorum voluntate servent. Idem hic deus Bathylin Cretensem tabe periclitantem ab hoc gravissimo malo, asininae carnis imperato esu, restituit; atque accidit, ut res evenerit ei juxta nomen animalis, dixerat enim deus ὀνησίφορον [salutarem] futuram hanc curationem et medelam. Et de illis haec dicta sufficiunt.

CAP. XXXVI.

De Equis.

DE animalium natura haec quoque feruntur. Equae ad vectionem curulem aptiores esse creduntur. Viros rei equestris peritos affirmare audio, equos lavatione et unctione gaudere. Solitos quidem unguentis liniri equos Simonides in Iambis testatur. Persae post Cyri pugnam in Lydia camelos simul cum equis alunt, equorum metum ex camelis convictu conantes expellere.

CAP. XXXVII.

Differentiae animalium secundum appellationem, et procreandi modum.

CARTILAGINEA vocantur, quae squamis carent; ut, muraena, conger, torpedo, pastinaca, bos, mustellus; delphinus

ΚΕΦ. λέ.

Ὅτι καὶ Χρύσερμος αἷμα ταύρειον πιὼν, καὶ Βάθυλις φθισικὸς, ὑπὸ τοῦ Σαράπιδος ἐσώθησαν.

ΧΡύσερμόν τε ἐπὶ Νέρωνος αἷμα ἀνεμοῦντα, καὶ τηκόμενον ἤδη, αἷμα ταύρου πιόντα, ἰάσατο αὐτὸς οὗτος ὁ θεός. Ἐγὼ δὲ λέγω ταῦτα, ὅτι ἐς τοσοῦτον ἄρα τὰ ζῶα θεοφιλῆ ἐστιν, ὡς καὶ ὑπὸ τῶν θεῶν σώζεσθαι, καὶ σώζειν, ἐκείνων βουλομένων, ἑτέρους. Ἀτὰρ οὖν καὶ Βάθυλιν τὸν Κρῆτα ἐς νόσον φθίσεως ἐμπεσόντα, ἐξάντη τοῦ τοσούτου κακοῦ ὅδε ὁ θεὸς εἰργάσατο, ὀνείων κρεῶν γευσάμενον· καὶ προσέπεσε γενέσθαι καὶ αὐτῷ παρὰ τὸ ὄνομα τοῦ ζώου, ἔφατο γὰρ ὀνησιφόρον οἱ ταύτην ἔσεσθαι τὴν θεραπείαν καὶ ἴασιν. Καὶ ὑπὲρ μὲν τούτων ἀπόχρη καὶ ταῦτα.

ΚΕΦ λϛ΄.

Περὶ τῶν Ἵππων.

ΙΔια δὲ ἄρα τῶν ζώων καὶ ἐκεῖνα λέγεται. Αἱ ἵπποι εἰς ἁρματηλασίαν ἐπιτηδειότεραι εἶναι πιστεύονται. Πυνθάνομαι δὲ τοὺς ἄνδρας τοὺς πωλευτικοὺς λέγειν, ὅτι ἄρα χαίρουσιν ἵπποι λουτρῷ τε καὶ ἀλοιφῇ. Ὅτι δὲ καὶ μύρῳ ἐχρίοντο ἵπποι Σιμωνίδης ἐν τοῖς Ἰάμβοις λέγει. Πέρσαι δὲ μετὰ τὴν Κύρου μάχην τὴν ἐν Λυδίᾳ καμήλους τοῖς ἵπποις συντρέφουσι, τὸ δέος τῶν ἵππων τὸ ἐκ τῶν καμήλων εἰς αὐτοὺς ἐξαπτόμενον ἐκβάλλειν πειρώμενοι τῇ συντροφίᾳ.

ΚΕΦ. λζ΄.

Διαφορότητες Ζώων εἰς ἐπωνυμίαν τε, καὶ ζωογονίαν.

ΚΑλεῖται δὲ σελάχεια, ὅσα οὐκ ἔχει λεπίδας, εἶεν δ᾽ ἂν μύραινα, γόγγρος, νάρκη, τρυγὼν, βοῦς, γαλεός· δελ-

φὶς

nus vero et balaena cete ſunt: et haec quidem de aquatilibus ſola vivipara. Mollia appellantur ex aquatilibus oſſium expertia; ut polypus, ſepia, lolligo, urtica: quae etiam ſanguine et viſceribus carent. Cruſtis tenuibus tecta; aſtaci, ſquillae, cancri, paguri: haec ſenectutem exuunt. Siliceis teſtis operta; conchae, murices, buccinae, ſtrombi, echini, locuſtae. Dentibus ſerratis praedita eſſe dicuntur, quae dentes teretes et acutos habent; ut, lupus, canis, leo, panthera: haec eadem ſunt carnivora. Vtrinque dentati, homo, equus, aſinus; adipem etiam habent. Dentes continuos habent, bos, ovis, capra. Dentes exertos habent, quae extra dentes eminentes oſtendunt, aper, talpa; nam elephanti, potius quam dentes, cornua appellanda ſunt. Inſecta; ut, veſpae, apes: haec etiam pulmonibus carere dicuntur. Ambigentia; equus fluviatilis, lutra, caſtor, crocodilus. Cortice teguntur, lacertus, ſalamandra, teſtudo, crocodilus, ſerpens: haec etiam ſenectutem exuunt, praeter crocodilum et teſtudinem. Solipeda; equus, aſinus. Biſulca; bos, cervus, capra, ovis, ſus. Multifida; ut, homo, canis. Planipeda, et latis unguibus praedita; cycnus, anſer. Cuteis alis praedita; veſpertilio. Vncinatis unguibus ſunt, quibus incurvum eſt roſtrum; ut, accipitres, aquilae. Aliorum animalium naturam alibi dixi.

CAP. XXXVIII.

De Vulpanſere.

VVLPANSER pullos ſuos vehementer amat, eandemque operam, quam perdix, in eis tuendis ponit. Nam ante ſuos foetus ſeſe provolvens, aucupi ſpem ſui capiendi praebet; hi vero interea elabuntur; quibus fuga elapſis, is ſeſe alis allevans diſcedit.

CAP.

φὶς [δὲ ϗ] φάλαινα [ἐςὶ] κήτη· ταῦτα δὲ ἄρα μόνα τῶν ἐνύδρων ζωοτοκεῖ. Μαλάκια δὲ καλεῖται, ὅσα τῶν ἐνύδρων ἀνόςεά εἰσι, ϗ εἴη ἂν πολύπους, σηπία, τευθὶς, ἀκαλήφη· ταῦτά τοι ϗ αἵματος ἄμοιρα καὶ σπλάγχνων ἐςί. Μαλακόςρακα δὲ, ἄςακοὶ, καρίδες, καρκίνοι, πάγουροι· ἀποδύεται δὲ ϗ τὸ γῆρας ταῦτα. Ὀςρακόδερμα δὲ, ὄςρεα, πορφύραι, κήρυκες, ςρόμβοι, ἐχῖνοι, κάραβοι. Καρχαρόδοντα δὲ, ςρογγύλους ἔχοντα τοὺς ὀδόντας ϗ ὀξεῖς, λύκος, κύων, λέων, πάρδαλις· ταῦτα μέντοι ϗ σαρκῶν ἐσθίει. Ἀμφώδοντα δὲ ἄνθρωπος, ἵππος, ὄνος, ἅπερ οὖν πιμελὴν ἔχει. Συνώδοντα δὲ, βοῦς, πρόβατον, αἴξ. Χαυλιόδοντα δὲ, τὰ ὑποφαίνοντα ἔξω τοὺς ὀδόντας, ὗς ὁ ἄγριος, σπάλαξ· τὸν γὰρ ἐλέφαντα οὔ φημι ὀδόντας ἔχειν, ἀλλὰ κέρατα. Ἔντομα δὲ, σφὴξ, μέλισσα· λέγουσι δὲ μηδὲ πνεύμονας ἔχειν ταῦτα. Ἀμφίβια δὲ, ἵππος ποτάμιος, ϗ ἔνυδρος, ϗ κάςωρ, ϗ κροκόδειλος. Φολιδωτὰ δὲ, σαῦρος, σαλαμάνδρα, χελώνη, κροκόδειλος, ὄφις· ταῦτα δὲ ϗ τὸ γῆρας ἀποδύεται, πλὴν κροκοδείλου ϗ χελώνης. Μώνυχα δὲ, ἵππος, ὄνος. . . . βοῦς, ἐλέφας, αἴξ, ὄϊς, χοῖρος. Πολυσχιδῆ δὲ, ἄνθρωπος, κύων. Στεγανόποδα ϗ πλατυώνυχα, κύκνος, χήν. Δερμόπτερος δὲ, νυκτερίς. Γαμψώνυχα δὲ, οἷς ϗ τὸ ῥάμφος ἐπικαμπὲς, ἱέρακες, ἀετοί. Τὴν δὲ ἄλλων τῶν ζώων ἰδιότητα ἀλλαχοῦ εἶπον.

ΚΕΦ. λή.

Περὶ τοῦ καλουμένου Χηναλώπεκος.

ΦΙλότεκνον δὲ ἄρα ζῶον ἦν ϗ ὁ χηναλώπηξ, ϗ ταυτὸν τοῖς πέρδιξι δρᾷ. Καὶ γὰρ οὗτος πρὸ τῶν νεοττῶν ἑαυτὸν κοιμίζει, ϗ ἐνδίδωσιν ἐλπίδα ὡς θηράσοντι αὐτὸν τῷ ἐπιόντι· οἱ δὲ ἀποδιδράσκουσιν οἱ νεοττοὶ ἐν τῷ τέως· ὅταν δὲ πρὸ ὁδοῦ γένωνται, ϗ ἐκεῖνος ἑαυτὸν τοῖς πτεροῖς ἐλαφρίσας ἀπαλλάττεται.

CAP. XXXIX.

De Accipitribus.

Accipiter, quoad vivit, ab Aegyptiis charus deo esse fertur; tum post excessum e vita, cum corpore exutus est anima et spiritus, futura ostendere, et somnia immittere. Eidem Aegyptii ternis aliquando pedibus accipitrem apud se visum aiunt, et nonnullis persuadent.

CAP. XL.

De animalibus partes aliquas sui corporis duplicatas habentibus; quemadmodum Perdices, Lepores, Cervi, atque alia ejusmodi animalia.

Perdices in Paphlagonia, ut scribit Theophrastus, cor geminum habent. In Bisaltia lepores Theopompus ait singulos duplex habere jecur. Apion, nisi nugatur, alicubi cervis quatuor esse renes prodidit. Et, cum Oenis Menidis filius regnaret in Aegypto, gruem bicipitem esse visam, et feracitatem regionis secutam, idem auctor est; item sub alio rege quadricipitem avem, et alluvione Nili secuta copiosiore quam alias unquam, fructuum et segetum admirabilem fertilitatem extitisse. Quadricornem cervum Nicocreon Cyprius habuit, et Delphis consecravit cum hac inscriptione:

Quatuor insignem quod cervum cornibus altis
Nicocreon cepit, munus, Apollo, tuum est.

Oves etiam tum quadricornes, tum tricornes, fuerunt in templo Iovis custodis urbis [in Aegypto.] Ego etiam quinque pedes

2 bovis

ΚΕΦ. λθʹ.

Περὶ Ἱεράκων.

Λέγουσι δὲ Αἰγύπτιοι τὸν ἱέρακα ζῶντα μὲν καὶ ἔτι περιόντα θεοφιλῆ ὄρνιν εἶναι· τοῦ βίου δὲ ἀπελθόντα καὶ μαντεύεσθαι, καὶ ὀνείρατα ἐπιπέμπειν, ἀποδυσάμενον τὸ σῶμα, καὶ ψυχὴ γεγενημένον γυμνή. Λέγουσι δὲ οἱ Αἰγύπτιοι καὶ τρίποδα ἱέρακα παρ᾽ αὐτοῖς φανῆναί ποτε, καὶ ὑγιῆ δοκοῦσι λέγειν τοῖς πεπιστευκόσι.

ΚΕΦ. μʹ.

Περὶ ζώων διπλᾶ μέλη ἐχόντων· οἷον Πέρδικες, Λαγωοὶ, Ἔλαφοι, καὶ ἕτερα τοιαῦτα.

Πέρδικες οἱ Παφλαγόνες δικάρδιοί εἰσιν, ὥσπερ οὖν Θεόφραστος λέγει. Καὶ Θεόπομπος τοὺς ἐν Βισαλτίᾳ λαγὼς διπλᾶ ἧπατα ἔχειν ἕκαστόν φησι. Λέγει δὲ Ἀπίων, εἰ μὴ τερατεύεται, καὶ ἐλάφους νεφροὺς τέτταρας ἔχειν κατά τινας τόπους. Λέγει δὲ ὁ αὐτὸς καὶ κατὰ τὸν Οἴνιδα τὸν Μήνιδος βασιλεύοντα δικέφαλον γέρανον φανῆναι, καὶ εὐθηνῆσαι τὴν Αἴγυπτον· καὶ Διπάλλου βασιλέως τετρακέφαλον ὄρνιν, καὶ πλημμυρῆσαι τὸν Νεῖλον ὡς οὔποτε, καὶ καρπῶν ἀφθονίαν γενέσθαι, καὶ εὐποτμίαν ληΐων θαυμαστήν. Τετράκερων δὲ ἔλαφον Νικοκρέων ὁ Κύπριος ἔσχε, καὶ ἀνέθηκε Πυθοῖ, καὶ ὑπέγραψε·

Σῆς ἕνεκεν, Λητοῦς τοξαλκέτα κοῦρ᾽, ἐπινοίας
Τήνδ᾽ ἕλε Νικοκρέων τετράκερων ἔλαφον.

Καὶ μέντοι καὶ τετράκερω πρόβατα ἐν τῷ τοῦ Διὸς τοῦ Πολιέως ἦν, καὶ τρίκερω. Ἐγὼ δὲ καὶ πεντάποδα βοῦν ἱερὸν ἐθεα-

bovis miratus ſum, quem vidi ſacrum eidem deo in magna urbe Alexandria, in luco dei, ubi conſitae perſeae egregiam umbram et ſpectaculum praebebant. Ibidem vitulus colore cereo pedem ab humero dependentem ferebat, abſolutum quidem illum, ſed ad greſſum inutilem. Haec etſi conſuetam naturae rationem non omnino ſequi videantur; ea tamen, ut vel ipſe vidi, vel fama accepi, referre libuit.

σάμην, ἀνάθημα τῷ Θεῷ τῷδε ἐν τῇ πόλει τῇ Ἀλεξάνδρου τῇ μεγάλῃ, ἐν τῷ καλουμένῳ τοῦ Θεοῦ ἄλσει, ἔνθα περσαῖαι σύμφυτοι σκιὰν περικαλλῆ καὶ ὄψιν ἀπεδείκνυντο. Καὶ ἦν μόσχος ἐνταῦθα τὴν χρόαν κηρῷ προσεικασμένος, καὶ ἐπὶ τοῦ ὤμου πόδα ἐπηρτημένον εἶχεν, ἀσύνεργον μὲν ὅσα ἐπιβῆναι, τέλειον δὲ ὅσα εἰς πλάσιν. Καὶ ταῦτα μὲν δοκεῖ τῇ φύσει ὁμολογεῖν οὐ πάντως· ἐγὼ δέ, ὅσα εἰς ἐμὴν ὄψιν τε καὶ ἀκοὴν ἀφίκετο, εἶπον.

AELIANI
DE
NATVRA ANIMALIVM
LIBER XII.

CAPVT I.
De ſacris piſcibus apud Myrenſes, qui Orphi appellantur.

IN Myrenſi Lyciae ſinu fons eſt, et Apollinis templum, ad cujus ſacerdotem vitulinas carunculas ex oblatis ſacrificiis diſpergentem orphi gregatim adnatant, et tanquam ſane convivae ad epulas invitati carnes comedunt. Et vero immolantes ex eo magna voluptate adficiuntur, quod piſces ſua ſacrificatione paſcantur; quod quidem ipſum res ſuas bene et feliciter caſuras eſſe ſignificare ſibi perſuadent, idcircoque propitium eſſe ſibi deum dicunt, cujus voluntate cibis piſces expleantur. Quod ſi caudis carnes in terram ejiciant, tanquam ſordidas a ſe deteſtantes, exinde ſibi iram dei portendi arbitrantur. Itemque hujuſcemodi piſcium genus ſacerdotis vocem et agnoſcit, et ſi ad eos, a quibus appellatur, acceſſerit, ſic incredibilem ipſis laetitiam adfert; ut, ſi contra fecerit, magnum dolorem eiſdem inurit.

CAP.

ΑΙΛΙΑΝΟΥ
ΠΕΡΙ
ΖΩΩΝ ΙΔΙΟΤΗΤΟΣ
ΒΙΒΛΙΟΝ ΙΒʹ.

ΚΕΦΑΛΑΙΟΝ αʹ.

Περὶ τῶν ἱερῶν ἰχθύων τῶν παρὰ Μυρεῦσιν, οὓς καλοῦσιν Ὀρφούς.

ΜΥΡΕΩΝ τῶν ἐν Λυκίᾳ κόλπος ἐστὶ, καὶ ἔχει πηγὴν, καὶ ἐνταῦθα νεὼς Ἀπόλλωνός ἐστι, καὶ ὁ τοῦδε τοῦ θεοῦ ἱερεὺς κρέα μόσχεια διασπείρει τῶν τῷ θεῷ τεθυμένων· ὀρφοὶ δὲ οἱ ἰχθύες ἀθρόοι προσνέουσι, καὶ τῶν κρεῶν ἐσθίουσιν, οἷα δήπου καλούμενοι δαιτυμόνες. Καὶ χαίρουσιν οἱ θύσαντες, καὶ τὴν τούτων δαῖτα πιστεύουσιν εἶναί σφισιν ὅτταν ἀγαθήν· καὶ λέγουσιν ἵλεων εἶναι τὸν θεὸν, δι' ὃν οἱ ἰχθύες ἐνεπλήσθησαν τῶν κρεῶν. Εἰ δὲ ταῖς οὐραῖς αὐτὰ εἰς τὴν γῆν ἐκβάλλοιεν, ὡσπεροῦν ἀτιμάσαντες, καὶ μυσαρὰ κρίναντες, τοῦτο δὴ τοῦ θεοῦ μῆνις εἶναι πεπίστευται. Γνωρίζουσι δὲ καὶ τὴν τοῦ ἱερέως φωνὴν οἱ ἰχθύες, καὶ ἐπακούσαντες μὲν εὐφραίνουσι τούτους, δι' οὓς κέκληνται· τοὐναντίον δὲ δράσαντες λυποῦσι.

ΚΕΦ.

CAP. II.

De Piscibus Hieropolitanis.

Ad Bambycen olim sic appellatam, nunc vero Hierapolim a Seleuco nuncupatam, pisces et sacri habentur, et confertis turmis natant. Duces item habent, qui cibos eis objectos primi degustant; maximeque ex omnibus piscibus amicitiam inter se servant, perpetuaque pace devinciuntur; sive quod dea hunc animorum consensum eis adflat, sive quod objectis escis cum abunde expleantur, necesse non habent se invicem invadere et vorare.

CAP. III.

De Agno Aegyptio geminam caudam habente.

Aegyptii ferunt (quod mihi quidem non persuaserint) quo tempore decantatus ille Bocchoris regnavit, agnum pedibus octonis et cauda gemina esse natum; ac eundem fuisse bicipitem, et quadricornem, et humano sermone locutum. Veniam merentur poetae, ut Homerus, qui Xantho equo sermonem attribuit; et imitatus illum hac in re Alcman, cum id post tantum auctorem, qui primus id fingere fuit ausus, Homerum fecerit, non est accusandus. Aegyptiis vero talia jactantibus quis credat? Volui tamen haec de agno, licet fabulosa, non praeterire.

CAP. IV.

De pennis, quae Accipitribus succrescunt.

De accipitribus audire memini, solere eos, antequam Nilus inundet, et agros operiat, ex pennis illas, quae jam consenuerint, dimittere, ut rami fruticum jam arida folia; et alias no-

vellas

ΚΕΦ. β'.

Περὶ τῶν ἐν Ἱεραπόλει Ἰχθύων.

ΚΑτὰ τὴν πάλαι Βαμβύκην, καλεῖται δὲ νῦν Ἱεράπολις, Σελεύκου ὀνομάσαντος τοῦτο αὐτὴν, ἰχθύες εἰσὶν ἱεροὶ, καὶ κατ' ἴλας νήχονται. Καὶ ἔχουσιν ἡγεμόνας, καὶ τῶν ἐμβαλλομένων αὐτοῖς τροφῶν προεσθίουσιν οὗτοί γε· φυλάττουσι δὲ καὶ τὴν πρὸς ἀλλήλους φιλίαν μάλιστα ἰχθύων, καὶ ἔστιν ἀεὶ ἔνσπονδα αὐτοῖς· ἤτοι τῆς θεοῦ τὴν ὁμόνοιαν καταπνεούσης, ἢ διότι τῶν ἐμβαλλομένων τροφῶν ἐμπιμπλάμενοι οὗτοι τῆς ἀλλήλων βορᾶς ἄγευστοί τε καὶ ἀμαθεῖς εἰκότως διαμένουσι.

ΚΕΦ. γ'.

Περὶ τοῦ ἐν Αἰγύπτῳ δικέρκου Ἀρνός.

ΛΕγουσιν Αἰγύπτιοι (καὶ ἐμὲ μὲν ἥκιστα πείθουσι) λέγουσι δ' οὖν ἄρνα καὶ ὀκτάπουν καὶ δίκερκον κατὰ τὸν Βόκχοριν τὸν ᾀδόμενον ἐκεῖνον γενέσθαι, καὶ ῥῆξαι φωνήν· καὶ δύο κεφαλὰς ᾄδουσι τῆς ἀρνὸς, καὶ τετράκερων γενέσθαι φασὶ τὴν αὐτήν. Ὁμήρῳ μὲν οὖν φωνὴν Ξάνθῳ τῷ ἵππῳ δόντι συγγνώμην νέμειν ἄξια, ποιητὴς γάρ· καὶ Ἀλκμὰν δὲ μιμέμενος ἐν τοῖς τοιούτοις Ὅμηρον οὐκ ἂν φέροιτο αἰτίαν, ἔχει γὰρ ἀξιόχρεων εἰς αἰδῶ τὴν πρωτίστην τόλμαν. Αἰγυπτίοις δὲ τὰ τοιαῦτα κομπάζουσι προσέχειν πῶς οἷόν τε; Εἴρηται γοῦν, εἰ καὶ μυθώδη τὰ τῆσδε τῆς ἀρνὸς ἴδια.

ΚΕΦ. δ'.

Περὶ τῶν πτερῶν τῶν τοῖς Ἱέραξιν ἐπιφυομένων.

ΚΑΙ ἐκεῖνο δὲ ὑπὲρ τῶν ἱεράκων ἀκούσας οἶδα πρὸ τοῦ τὸν Νεῖλον ἐπιπολάζειν τῇ Αἰγύπτῳ, καὶ ἐς τὰς ἀούρας ἀνέρχεσθαι, ἀφιᾶσι τῶν πτερύγων τὰ ἤδη γηρῶντα ὥσπερ οὖν

vellas et elegantes producere, similiter ut arbores comam. Sunt autem accipitrum genera plura, quod et Aristophanes insinuare videtur, cum inquit:

Atqui misimus
Ter mille accipitres, sagittarios equites.
Iamque quilibet procedit unguibus amentatis
Cerchnes, buteo, vultur, cymindis, aquila.

Distributi sunt autem et consecrati variis diis: perdicarius et ocypteros Apollinis minister est, ut ferunt; ossifraga et harpe sacrae sunt Minervae; palumbario Mercurium delectari aiunt; Iunoni dedicatur tanysipteros, Dianae buteo, Matri deum mermnus, alii denique aliis diis. Genera autem accipitrum permulta sunt.

CAP. V.

De Mustela, quam Thebani in Boeotia adorant; item de Muribus in Apollinis Sminthii templo.

AEGYPTII quod diversa animalium genera in deos referant, et diversimode colant, multiplex risus eos consequitur. At Thebani, natione quidem Graeci, risu obruendi, qui mustelam, ut audio, religiose venerentur, et dicant Herculis hanc nutricem fuisse; vel non fuisse quidem nutricem, sed cum Herculem Alcmena parturiret, et parere non posset, hanc praetercurrentem partus vincula dissolvisse; eoque esse factum, in lucem ut Hercules exiret, et jamjam natus reptaret; cui deinde Iuno decantatos illos dracones immisit. Porro mures adorant ii, qui Troadis Hamaxitum incolunt; unde Apollinem, qui apud eos maxima religione est, Sminthium appellant. Murem enim Sminthium Aeoles et Trojani nominant, sicut Aeschylus in Sisypho testatur, cum ait:

Sed

τῶν φυτῶν οἱ κλάδοι φύλλα τὰ ξηρὰ, καὶ ἀναφύουσι πτίλα νεαρὰ καὶ ὡραῖα οἱ ἱέρακες, ὡς τὴν ἄνθην τὰ δένδρα. Γένη δὲ ἱεράκων πλείονα ἄρα ἦν, καὶ ἔοικεν ὑπαινίττεσθαι καὶ Ἀριστοφάνης τοῦτο, φησὶ γοῦν·

Ἀλλ' ἐπέμψαμεν
Τρὶς χιλίους ἱέρακας, ἱπποτοξότας.
Χωρὶς δὲ πᾶς τις ὄνυχας ἠγκυλωμένος,
Κερχνῆς, τριόρχης, γὺψ, κύμινδις, αἰετός.

Νενέμηνται δὲ καὶ ἀπεκρίθησαν θεοῖς πολλοῖς· ὁ μὲν περδικοθήρας καὶ ὠκύπτερος Ἀπόλλωνός ἐστι θεράπων, φασί· φήνην δὲ καὶ ἅρπην Ἀθηνᾷ προσνέμουσιν· Ἑρμοῦ δὲ τὸν φασσοφόντην ἄθυρμα εἶναι φασίν· Ἥρας δὲ τὸν τανυσίπτερον, καὶ τὸν τριόρχην οὕτω καλούμενον Ἀρτέμιδος, Μητρὶ δὲ θεῶν τὸν μέρμνον, καὶ ἄλλον δὲ ἄλλῳ θεῷ. Γένη δὲ ἱεράκων ἐστὶ πάμπολλα.

ΚΕΦ. έ.

Περὶ τῆς Γαλῆς, ἣν Θηβαῖοι ἐν τῇ Βοιωτίᾳ σέβουσι· καὶ περὶ τῶν ἐν Σμίνθῳ Μυῶν.

Αἰγύπτιοι μὲν οὖν σέβοντές τε καὶ ἐκθεοῦντες γένη ζώων διάφορα, καὶ διαφόρως, γέλωτα ὀφλισκάνουσι παρά γε τοῖς πολλοῖς· καὶ Θηβαῖοι δὲ σέβουσιν Ἕλληνες ὄντες, ὡς ἀκούω, γαλῆν, καὶ λέγουσί γε Ἡρακλέους αὐτὴν γενέσθαι τροφόν· ἢ τροφὸν μὲν οὐδαμῶς, καθημένης δὲ ἐπ' ὠδῖσι τῆς Ἀλκμήνης, καὶ τεκεῖν οὐ δυναμένης, τήνδε παραδραμεῖν, καὶ τοὺς τῶν ὠδίνων λῦσαι δεσμοὺς, καὶ προελθεῖν τὸν Ἡρακλέα, καὶ ἕρπειν ἤδη· καὶ τούς γε ὑμνησίους δράκοντας, ἡ Ἥρα ἔπεμπεν αὐτῷ. Καὶ οἱ τὴν Ἀμαξιτὸν δὲ τῆς Τρῳάδος κατοικοῦντες, μῦς σέβουσιν· ἔνθεν τοι καὶ τὸν Ἀπόλλω, τὸν παρ' αὐτοῖς τιμώμενον, Σμίνθιον καλοῦσι, φασίν. Ἔτι γὰρ καὶ τοὺς Αἰολέας καὶ τοὺς Τρῶας τὸν μῦν προσαγορεύειν σμίνθιον, ὥσπερ οὖν καὶ Αἰσχύλος ἐν τῷ Σισύφῳ·

Sed eſt agreſtis maximuſque ſminthius.

Tum vero in aede Sminthii cicures aluntur mures, eiſque victus publice praebetur; atque infra altare, ubi degant, mures albi latibula habent; apud tripodem Apollinis muris eſt effigies. Ceterum de hujus religionis origine hanc accepi fabellam: Permulta murium millia cum Aeolum et Trojanorum ſegetes invaſiſſent, atque immaturas ſuccidiſſent, eis, qui ſementem feciſſent, meſſem infructuoſam reddidiſſent; cumque Delphicus deus de hac re conſultus eſſet, reſpondiſſe; oportere ſacrificare Sminthio Apollini: eos, quibus datum eſſet oraculum, reſponſum ſecutos ab hoc murium impetu liberatos fuiſſe, et frumentum eis ad ſolitas meſſes perveniſſe. Huc etiam addunt: Cretenſes ad coloniam domo miſſos propter calamitatem, quae ipſis acciderat, Pythium rogaſſe, quempiam ſibi locum ad habitandum adpoſitum oſtenderet; illum oraculum edidiſſe, ubi terra geniti bellum eis inferrent, ibi conſidendum, atque urbem excitandam eſſe: ita eos profectos ad Hamaxitum caſtra poſuiſſe, ut illic quieſcerent; murium vero immenſam vim erupiſſe, et clypeorum lora deroſiſſe, et arcuum nervos exediſſe; ex quo conjecturam duxerunt illos eſſe terrigenas, proinde ad armorum etiam inopiam redactos hunc locum incoluiſſe, atque Sminthio Apollini templum excitaſſe. Ad hanc theologiam murium nos mentio promovit, et haec quoque obiter cognoviſſe detrimento nobis non fuerit.

CAP.

Ἀλλ᾽ ἀρουραῖός τις ἐστὶ Σμίνθιος, ὡς δ᾽ ὑπερφυής.

Καὶ τρέφονται μὲν ἐς τοὺς Σμινθίους μῦες τιθασσοὶ δημοσίας τροφὰς λαμβάνοντες, ὑπὸ δὲ τῷ βωμῷ καὶ φωλεύουσι λευκοί, καὶ παρὰ τῷ τρίποδι τοῦ Ἀπόλλωνος ἕστηκε μῦς. Μυθολόγημα δὲ ὑπὲρ τῆσδε τῆς θρησκείας καὶ ἐκεῖνο προσακήκοα· Τῶν Αἰολέων καὶ τῶν Τρώων τὰ λήϊα πολλὰς μυῶν μυριάδας ἐπελθούσας ἀώρους ὑποκείρειν, καὶ ἀτελῆ τὰ θέρη τοῖς σπείρασιν ἀποφαίνειν· οὐκοῦν τὸν ἐν Δελφοῖς θεὸν πυνθανόμενον εἰπεῖν, ὅτι δεῖ θύειν Ἀπόλλωνι Σμινθεῖ· τοὺς δὲ πεισθέντας ἀπαλλαγῆναι τῆς ἐκ τῶν μυῶν ἐπιβουλῆς, καὶ τὸν πυρὸν αὐτοῖς ἐς τόνδε τὸν νενομισμένον ἄμητον ἀφικνεῖσθαι. Ἐπιλέγουσι δὲ ἄρα τούτοις καὶ ἐκεῖνα· Εἰς ἀποικίαν Κρητῶν οἱ σταλέντες οἴκοθεν ἔκ τινος τύχης καταλαβούσης αὐτοὺς, ἐδεήθησαν τοῦ Πυθίου φῆναί τινα αὐτοῖς χῶρον ἀγαθὸν, καὶ εἰς τὸν συνοικισμὸν λυσιτελῆ· ἐκπίπτειν δὴ λόγιον, ἔνθα ἂν αὐτοῖς οἱ γηγενεῖς πολεμήσωσιν, ἐνταῦθα καταμεῖναι, καὶ ἀναστῆσαι πόλιν· οὐκοῦν ἥκουσι μὲν εἰς τὴν Ἁμαξιτὸν τήνδε, καὶ στρατοπεδεύουσιν ὥστε ἀναπαύσασθαι· μυῶν δὲ ἄφατόν τι πλῆθος ἐφερπύσαν τάτε ὄχανα αὐτοῖς τῶν ἀσπίδων διέτραγε, καὶ τὰς τῶν τόξων νευρὰς διέφαγεν· οἱ δὲ ἄρα συνέβαλον τούτους ἐκείνους εἶναι τοὺς γηγενεῖς, καὶ μέντοι καὶ εἰς ἀπορίαν ἥκοντες τὴν τῶν ἀμυντηρίων τόνδε τὸν χῶρον οἰκίζουσι, καὶ Ἀπόλλωνος ἱδρύονται νεὼν Σμινθίου. Ἡ μὲν οὖν τῶν μυῶν μνήμη προήγαγεν ἡμᾶς καὶ εἰς θεολογίαν τινὰ, χείρους δὲ αὐτῶν οὐ γεγόναμεν καὶ τοιαῦτα προσακούσαντες.

ΚΕΦ.

CAP. VI.

Quod Delphini sui generis mortuorum cadavera sepeliant; et de Cicadis.

DELPHINI etiam mortuorum memoriam non abjiciunt, et eos, quibuscum consuetudinem vivis habuerant, extinctos quoque non deserunt. Itaque sui generis cadavera subeuntes, ad continentem elata, hominibus sepelienda tradunt, Aristotele teste; post vero sequitur magna delphinorum multitudo, tanquam in extinctos honorem conferentium, aut certe eos ab impetu aliarum belluarum ne abrepti devorentur defendentium. Itaque homines justi, et rei musicae intelligentes, reverentia studii in delphinorum musicam adducti humatione eos adficiunt; illi vero, qui a Musis ipsisque Gratiis (quod aiunt) alieni sunt, eos inhumatos relinquunt. At truci horum animo, o delphini, veniam concedatis oportet: quandoquidem vel ipsi Athenienses Phocionem probum virum inhumatum projecerunt: tum Olympias, quae filium Iovis peperisset, ut ipsa gloriabatur, et ille profitebatur, insepulta jacuit: Pompeius item Romanus, cognomine Magnus, cum tot tantasque res praeclaras gessisset, ac summis victoriis partis, ter triumphasset, et interfectoris sui patrem servasset, et in regnum restituisset, Aegyptii non modo interfecerunt, sed capite truncatum, projectum ad litus reliquerunt; quemadmodum erga vos sepulturae officium saepe negligunt. Vidi ego quoque, qui connexas cicadas in cibum venderent. Omnivorum enim istud animal neque vobis, o delphini, parcit, sed vos sale inveterare et devorare audet; neque cicadis etiam parcit, nec animadvertit se rem perpetrare Musis, Iovis filiabus, invisam.

CAP.

ΚΕΦ. ϛʹ.

Ὅτι τοὺς ἀποθανόντας αὐτῶν οἱ Δελφῖνες θάπτουσι· καὶ περὶ Τεττίγων.

ΗΣαν δὲ ἄρα δελφῖνες καὶ νεκρῶν μνήμονες, καὶ τῶν συννόμων ἀπελθόντων τοῦ βίου οὐδαμῶς προδόται. Τὸν γοῦν ἑαυτῶν τεθνεῶτα ὑποδύντες εἶτα μέντοι κομίζουσι φοράδην ἐς τὴν γῆν, τοῖς ἀνθρώποις πιστεύοντες θάψαι, καὶ Ἀριστοτέλης μαρτυρεῖ τούτῳ· ἕπεται δὲ πλῆθος ἕτερον οἱονεὶ τιμῶντες, ἢ καὶ νὴ Δία ὑπερμαχοῦντες, μήποτε ἄλλο κῆτος ἐπιδράμῃ, καὶ τὸν νεκρὸν ἁρπάσαν εἶτα καταδαίσηται. Ὅσοι μὲν οὖν εἰσιν ἔνδικοι, καὶ τῆς μουσικῆς ἐπαΐοντες, τῆς τῶν δελφίνων φιλομουσίας αἰδοῖ θάπτουσιν αὐτούς· οἱ δὲ ἀπό τε Μουσῶν (φασὶν) ἀπό τε Χαρίτων ἀκηδῶς αὐτῶν ἔχουσι. Καὶ δότε γε συγγνώμην, ὦ δελφῖνες φίλοι, τῇ τῶν ἀνθρώπων ἀγριότητι· εἴγε καὶ Ἀθηναῖοι Φωκίωνα τὸν χρηστὸν ἔρριψαν ἄταφον· καὶ Ὀλυμπιὰς δὲ ἔκειτο γυμνὴ, ἡ τεκοῦσα τὸν τοῦ Διὸς, ὡς ἐκόμπαζεν αὐτὴ, καὶ ἐκεῖνος ἔλεγε· καὶ τὸν Ῥωμαῖον Πομπήϊον τὸν Μέγαν ἐπίκλην ἀποκτείναντες Αἰγύπτιοι, τοσαῦτα ἐργασάμενον, καὶ νίκας νικήσαντα ἄγαν σεμνὰς, καὶ θριαμβεύσαντα τρὶς, καὶ τὸν τοῦ φονέως πατέρα σώσαντα, καὶ εἰς τὴν Αἰγυπτίων βασιλείαν ἐπαναγαγόντα, εἴασαν ἐρριμμένον ἄμοιρον τῆς κεφαλῆς, πλησίον τῆς θαλάττης· καὶ ἐκεῖνον, ὡς ὑμᾶς πολλάκις ἐῶσιν. Ἐγὼ δὲ εἶδον καὶ τέττιγας εἴραντάς τινας, καὶ πιπράσκοντας ἐπὶ δεῖπνον, καὶ μάλα γε ἐδείπνει. Τὸ γάρ τοι ζῶον τὸ πάμβορον τοῦτο οὐδὲ ὑμῶν φείδεται, ἀλλὰ καὶ ὑμᾶς ταρίχους ἐργάσασθαι τολμῶσι· καὶ ἐσθίειν ὑμῶν, καὶ τεττίγων ἀφειδῶς ἔχουσι, καὶ σφᾶς ἑαυτοὺς λελήθασι ταῖς Μούσαις, ταῖς Διὸς θυγατράσι, ταῦτα ἀπὸ θυμοῦ δρῶντες.

ΚΕΦ.

CAP. VII.

De Leonibus, quos Aegyptii ceu ſacros colunt; et de Sphinge.

LEONIBUS in Aegypto religioſus cultus non modo tribuitur, ſed etiam ex iis urbs nomen traxit; quorum ſane vim ac naturam exponere non alienum videtur. Templa habent ſibi conſecrata, et ſedes ad commorandum amplas; tum eis bubulae carnes quotidie praebentur, quas diſtractas atque ab oſſibus et fibris nudas dum exedunt, Aegyptii iis accinunt Aegyptia voce. Cantionis argumentum eſt, ne ex adſpicientibus quenquam faſcinent, eamque, ut ita dicam, amuleti vice uſurpare videntur. Neque vero eorum modo permulti apud ipſos conſecrantur, verum etiam ſedes eis dedicatae e regione contrarios adverſoſque adſpectus habent; quarum feneſtrae, tam quae ad ſolis exortum pertinent, tam etiam quae ad occaſum ſpectant, apertae ſuaviorem vivendi rationem eis, et jucundius habitandi domicilium efficiunt. Tum eis etiam ſunt exercitationum loca ad tuendam valetudinem, tum propinquae palaeſtrae. Exhibetur autem cuique, quocum certet, adverſarius ei vitulus aliquis bene habitus, quem cum certando proſtraverit (quod quidem tardius facit, utpote otio et exercitii venandique penuria ſegnior) inde ſatiatur, et ad ſuum redit ſtabulum. Eos ideo Vulcano Aegyptii conſecrarunt, quod ſint natura vehementer ignita; atque adeo exteriorem ignem ob copiam interioris aegerrime intuentur, et fugiunt. Tum idcirco ſolis domicilium leonem conſtituunt, quod igneus ſit: ſimul et ſolem, cum eſt aeſtivo tempore calidiſſimus ac fervidiſſimus, accedere ad Leonem coeleſtem dicunt. Ii quidem, qui magnam Heliopolim incolunt, in dei veſtibulis eos divinae cujuſdam ſortis, ut Aegyptii dicunt, participes alunt. Nam iis, quibus propitius eſt deus, ſomniorum ſignificationibus ſecundum quietem, futura non ſolum oſtendunt:

ΚΕΦ. ζ΄.

Περὶ τῶν ἐν Αἰγύπτῳ ἐκθεουμένων Λεόντων· καὶ περὶ Σφιγγός.

Λέοντας μὲν ἐν Αἰγύπτῳ σέβουσι, καὶ ἐξ αὐτῶν κέκληται πόλις· καὶ τὰ ἴδιά γε τῶν ἐκεῖ λεόντων εἰπεῖν ἄξιον. Ἔχουσι νεώς, καὶ διατριβὰς εὖ μάλα ἀφθόνους· καὶ κρέα βοῶν αὐτοῖς ἐστιν ὁσημέραι, καὶ διασπαρακτὰ κεῖται γυμνὰ ὀστέων καὶ ἰνῶν, καὶ ἐσθιόντων ἐπᾴδουσιν Αἰγυπτίᾳ φωνῇ. Ἡ δὲ ὑπόθεσις τῆς ᾠδῆς, μὴ βασκήνητέ τινα τῶν ὁρώντων, καὶ ἔοικεν, ὡς ἂν εἴποις, ἀντὶ περιάπτων τὸ ᾆσμα. Ἐκθεοῦνται δὲ ἄρα παρ' αὐτοῖς πολλοί, καὶ ἀντιπρόσωποί γε δίαιται ἀνειμέναι αὐτοῖς εἰσι· καὶ αἱ μὲν πρὸς τὴν ἕω θυρίδες, αἱ δὲ πρὸς τὴν ἑσπέραν ἀνεῳγμέναι, κεχαρισμενωτέραν αὐτοῖς τὴν δίαιταν ἀποφαίνουσιν. Ἔστι δὲ αὐτοῖς καὶ γυμνάσια ὑγείας χάριν, καὶ πλησίον παλαῖστραι. Ὁ δὲ ἀντίπαλος τῶν εὐτραφῶν μόσχος, καὶ πρὸς τοῦτον γυμνασάμενος, ἵνα αὐτὸν καθέλῃ (δρᾷ δὲ βραδέως ὑπ' ἀργίας αὐτὸ καὶ ἀθηρίας) ἐμφορεῖταί τε, καὶ ὑποστρέφει εἰς τὸ αὔλιον τὸ ἴδιον. Διάπυρον δέ ἐστι τὸ ζῶον ἰσχυρῶς, καὶ ἐντεῦθεν καὶ Ἡφαίστῳ ἀνῆψαν αὐτὸ Αἰγύπτιοι· τὸ δὲ ἔξωθεν πῦρ δυσωπεῖται, καὶ φεύγει, πλήθει τοῦ ἔνδοθεν, φασίν. Ἐπεὶ δὲ ἄγαν πυρῶδές ἐστι, καὶ αὐτὸν οἶκον Ἡλίου φασὶν εἶναι· καὶ ὅταν γε ᾖ ἑαυτοῦ θερμότατος καὶ θερειότατος ὁ ἥλιος, λέοντι αὐτὸν πελάζειν τῷ οὐρανίῳ φασί. Προσέτι γε μὴν καὶ οἱ τὴν μεγάλην οἰκοῦντες Ἡλιούπολιν, ἐν τοῖς τοῦ θεοῦ προπυλαίοις τούσδε τρέφουσι τοὺς λέοντας, θειοτέρας τινὸς μοίρας, ὡς Αἰγύπτιοί φασι, μετειληχότας. Καὶ γάρ τοι καὶ ὄναρ, οἷσπερ οὖν θεός ἐστιν ἵλεως ἐπιστάντες, προθεσπίζουσί

oſtendunt; ſed etiam a perjuris non longo intervallo, atque adeo e veſtigio, deo eis juſtam iracundiam adflante, poenas illorum fraudi debitas repetunt. Empedocles inquit, ſi poſt exceſſum e vita homo de ſemetipſo in beſtiae alicujus naturam demigrare debeat, multo praeſtantiſſimam converſionem eſſe, quae fit ex homine in leonem; ſi in plantam commutari, optimam eſſe demigrationem in laurum. Verſus quidem ipſius hi ſunt:

Utque feras inter praeſtat leo montivagus trux,
Sic aliis fruticum laetiſſima laurea cunctis.

Quod ſi ſapientiae Aegyptiorum, qui animantes etiam earumque partes ad naturam referunt, ratio habenda eſt; illi attribuunt igni hujus animalis anteriora, aquae vero poſteriora. Sphingem quoque Aegyptii qui ſculpturam exercent, et Thebanae fabulae duplici natura egregie adornantes, biformem nobis conantur repraeſentare, ipſam ex corpore virginis et leonis compoſitam celebrantes. Quod et Euripides inſinuat, cum inquit:

Caudam revolvens ſub leoninos pedes
Sedebat.

Porro Nemeaeum leonem e luna decidiſſe aiunt. Vnde et Epimenides in ſuis carminibus cecinit:

Nam genus e luna noſtrum coeleſtis origo eſt,
Terribili quae me quondam concuſſa rigore
In Nemeam ſylvam, Iunoni ſcilicet almae
Ut gratum faceret, dejecit.

Sed haec in fabellas rejicienda; nos propriam leonum vim et ſupra et in praeſentia ſatis explicavimus.

CAP.

τινα· καὶ τοὺς ἐπίορκον ὀμόσαντας οὐκ εἰς ἀναβολὰς, ἀλλ' ἤδη δικαιοῦσι, τοῦ θεοῦ τὴν ὁρμὴν τὴν δικαίαν αὐτοῖς καταπνέοντος. Λέγει δὲ καὶ Ἐμπεδοκλῆς τὴν ἀρίστην εἶναι μετοίκησιν τὴν τοῦ ἀνθρώπου, εἰ μὲν εἰς ζῶον ἡ λῆξις αὐτὴν μετάγοι, λέοντα γίνεσθαι· εἰ δὲ εἰς φυτὸν, δάφνην. Ἃ δὲ Ἐμπεδοκλῆς λέγει, ταῦτ' ἐστιν·

Ἐν θηρσὶ δὲ λέοντες ὀρειλεχέες χαμαιεῦναι
Γίνονται, δάφναι δ' ἐνὶ δένδρεσιν ἠϋκόμοισιν.

Εἰ δὲ δεῖ καὶ τῆς τῶν Αἰγυπτίων σοφίας, εἰς φύσιν ἐκτρεπόντων καὶ τὰ τοιαῦτα, ὤραν τίθεσθαι· τὰ μὲν πρόσθια τοῦδε τοῦ ζώου πυρὶ ἀποκρίνουσιν, ὕδατι μὴν τὰ κατόπιν. Καὶ τὴν σφίγγα μέντοι τὴν διφυῆ Αἰγύπτιοί τε χειρουργοὶ γλύφοντες, καὶ Θηβαῖοι μῦθοι κομπάζοντες, δίμορφον ἡμῖν πειρῶνται δεικνῦναι, σεμνύνοντες τῇτε τοῦ παρθενωποῦ, καὶ τῇ τοῦ λεοντοειδοῦς σώματος κράσει αὐτήν· τοῦτό τοι καὶ Εὐριπίδης ὑπαινίττεται λέγων·

Οὐρὰν δὲ ὑπήλλασα ὑπὸ λεοντόπουν βάσιν
Καθίζετο.

Καὶ μέντοι καὶ τὸν Νεμεαῖον λέοντα τῆς σελήνης ἐκπεσεῖν φασι. Λέγει οὖν καὶ τὰ Ἐπιμενίδου ἔπη.

Καὶ γὰρ ἐγὼ γένος εἰμὶ σελήνης ἠϋκόμοιο,
Ἣ δεινὸν φρίξασ', ἀπεσείσατο θῆρα λέοντα
Ἐννεμεαίαν· ἄγοις αὐτὸν διὰ ποτνίαν Ἥραν.

Καὶ ταῦτα μὲν ἐς τοὺς μύθους ἀπεκρίναμεν, τά γε μὴν λεόντων ἴδια καὶ ἀνωτέρω καὶ νῦν ἀποχρῶντα εἴρηται.

CAP. VIII.

De Pyrausta.

Pyrausta animal est, quod ignis fulgore gaudet; et ad lucernas advolat, cum flamma maxime viget, atque inde se aliquid adepturum putat: magno autem impetu in eam illapsus comburitur. Meminit vero ejus etiam Aeschylus Tragoediarum scriptor, canens:

Magnopere imprudentem metuo pyraustae necem.

CAP. IX.

De Cinclo ave, sive Motacilla.

Cinclus volucre animal est, posteriore sui parte debile, ideo suapte natura et per se dicunt non posse nidum construere, sed in alienis parere; eamque ob rem pauperes rusticorum proverbio cinclos appellari solere. Haec etiam semper caudam movet, ut apud Archilochum cerulus. Mentionem hujus avis Aristophanes etiam in Amphiarao facit, his versibus:

Et lumbis caveto tuis, ceu debilis illa
Cinclus parte senex: hoc incantatio quaedam
Creditur esse potens.

Idem in Gerolordo *cincliobaten rythmum* dixit. Et Autocrates in Tympanistis:

Ludere ut solent blandae
Virgines sono quondam
Tibiae delectatae,
Iactare palmas, comas,
Vibrare leviter pedes,
Ephesiae Dianae in festo;
Motitare lascive
Sursum deorsum lumbos,
Cincli more salientis.

CAP.

ΚΕΦ. ή.

Περὶ τοῦ καλουμένου Πυραύστου.

Ζῶόν ἐστιν ὁ πυραύστης, ὅπερ οὖν χαίρει μὲν τῇ λαμπηδόνι τοῦ πυρὸς, καὶ προσπέταται τοῖς λύχνοις, ἐν ἀκμαζούσῃ ἔτι τῇ φλογὶ, καὶ δοκεῖ τι λήψεσθαι· ἐμπεσὼν δὲ ὑπὸ ῥώμης, εἶτα μέντοι καταπέφλεκται. Μέμνηται δὲ αὐτοῦ καὶ ὁ Αἰσχύλος ὁ τῆς τραγῳδίας ποιητὴς λέγων·

Δέδοικα μωρὸν κάρτα πυραύστου μόρον.

ΚΕΦ. θ'.

Περὶ Κίγκλου.

Ὁ δὲ κίγκλος ζῶόν ἐστι πτηνὸν ἀσθενὲς τὸ κατόπιν· καὶ διὰ τοῦτό φασι μηδὲ ἰδίᾳ μηδὲ καθ' αὑτὸν δυνάμενον αὐτὸν νεοττείαν συμπλέξαι, ἐν τοῖς ἄλλοις δὲ τίκτειν· ἔνθεν καὶ τοὺς πτωχοὺς κίγκλους ἐκάλουν αἱ τῶν ἀγροίκων παροιμίαι. Κινεῖ δὲ καὶ τὰ οὐραῖα πτερὰ, ὥσπερ οὖν ὁ παρὰ τῷ Ἀρχιλόχῳ κήρυλος. Μέμνηται δὲ καὶ τοῦ ὄρνιθος τοῦδε Ἀριστοφάνης ἐν τῷ Ἀμφιαράῳ λέγων·

Ὀσφὺν δ' ἐξ ἄκρων διακίγκλισον, ἠΰτε κίγκλου
Ἀνδρὸς πρεσβύτου· τελέει δ' ἀγαθὴν ἐπαοιδήν.

Καὶ ἐν τῷ Γηρολόρδῳ· Κιγκλιοβάταν ῥυθμόν. Καὶ Αὐτοκράτης ἐν Τυμπανισταῖς·

Οἷα παίζουσι φίλαι
Παρθένοι αὐλῶν κόραι
Κοῦφα πηδῶσαι, κόμας,
Κ' ἀνακρούουσαι χεροῖν,
Ἐφεσίαν παρ' Ἄρτεμιν
Κάλλιστ' ἂν καὶ τοῖν ἰσχίοιν
Τὸ μὲν κάτω, τὸ δ' αὖ
Εἰς ἄνω ἐξαίρουσαι,
Οἷα κίγκλος ἄλλεται.

CAP. X.

Quod Mures cum moriuntur, eorum partes non pariter, sed singillatim extinguantur; et de Turturibus, item quod Mures sint libidinosissimi.

MVRES, qui non ex insidiis, sed sua sponte moriuntur, defluentibus membris, e vita paulatim excedunt; unde profectum id, quod est in proverbio, *Iuxta muris interitum:* cujus Menander meminit in Thaide. Quin et *turture loquaciorem* hominem dicebant: siquidem turtur et ore semper garrula est, et postica etiam parte plurimum, ut ferunt, obstrepit. Et hanc quidem paroemiam idem poeta usurpat in Monili, et Demetrius in Sicilia fabula *turtures podice* etiam *loqui* ait. Porro mures flagranti libidine dicunt esse, testemque Cratinum adferunt dicentem in Fugitivis:

Age nunc tibi de sereno adversus mollitiem muris fulgurabo Xenophontis.

Et feminam quidem murem majore veneris rabie flagrare dicunt; et rursus Epicratem citant in dramate, quod inscribitur Chorus:

Postremo subiit laena detestabilis,
Per Phersephattam, per Dianam dejerans,
Esse hanc puellam, virginemque, et integram
Pullus ut indomitus: at cavus erat murium.

Voluit autem extreme libidinosam dicere *cavum* totum *murinum* eam appellando. Et Philemon:

Mus albus, illam si quis (at fari pudet)
Clamavit adeo laena mox turpissima;
Latere nusquam licuit.

CAP.

ΚΕΦ. ί.

Ὅτι τῷ ἰδίῳ θανάτῳ ἀποθνήσκοντες οἱ Μῦες κατὰ μέρος ἀποθνήσκουσι, καὶ περὶ Τρυγόνων, καὶ ὅτι λαγνίστατοι οἱ Μῦες.

ΟΙ μῦες ἀποθνήσκοντες καθ' ἑαυτοὺς, καὶ ἐκ μηδεμιᾶς ἐπιβουλῆς, ἀποῤῥεόντων αὐτοῖς τῶν μελῶν, κατὰ μικρὰ ἀπέρχονται τοῦ βίου· ἔνθεν καὶ ἡ παροιμία λέγει, Κατὰ μυὸς ὄλεθρον· μέμνηται δὲ αὐτῆς Μένανδρος ἐν τῇ Θαΐδι. Τρυγόνος δὲ λαλίστερον ἔλεγον· ἡ γάρ τοι τρυγὼν, καὶ διὰ τοῦ στόματος μὲν ἀπαύστως φθέγγεται, ἤδη δὲ καὶ ἐκ τῶν κατόπιν μερῶν, ὥς φασι, πάμπλεισα. Μέμνηται δὲ καὶ ταύτης τῆς παροιμίας ἐν τῷ Πλοκίῳ ὁ αὐτός· καὶ Δημήτριος μὲν ἐν τῇ Σικελίᾳ τῷ δράματι μέμνηται, ὅτι καὶ τῇ πυγῇ λαλοῦσιν αἱ τρυγόνες. Λέγουσι δὲ τοὺς μῦς λαγνιστάτους εἶναι, καὶ μάρτυρά γε Κρατῖνον ἐπάγονται, εἰπόντα ἐν ταῖς Δραπετίσι·

Φέρε νῦν σοι ἐξ αἰθρίας καταπυγοσύνην μυὸς ἀστράψω Ξενοφῶντος.

Καὶ ἔτι μᾶλλον τὸν θῆλυν ἔλεγον εἰς τὰ ἀφροδίσια εἶναι λυττητικόν· καὶ πάλιν παρὰ Ἐπικράτει ἐν τῷ Χορῷ, δρᾶμα δ' ἐστὶ τῷ Ἐπικράτει τοῦτο·

Τελέως δὲ ὕμιν ὑπῆλθεν ἡ κατάρατος μαστροπὸς
Ἐπομνύουσα τὰν κόραν, τὰν Ἄρτεμιν,
Τὰν Φερσέφατταν, ὡς δάμαλις, ὡς παρθένος,
Ὡς πῶλος ἀδμής· ἥδ' ἄρ' ἦν μυωνία.

Εἰς ὑπερβολὴν δὲ λαγνιστάτην αὐτὴν εἰπεῖν ἠθέλησε, μυωνίαν ὅλην ὀνομάσας. Καὶ Φιλήμων·

Μῦς λευκὸς, ὅταν αὐτήν τις (ἀλλ' αἰσχύνομαι
Λέγειν) κέκραγε τηλικοῦτον εὐθὺς ἡ κατάρατος
Μαστροπός· ὥστ' οὐκ ἔστι πολλάκις λαθεῖν.

CAP. XI.

De tauro Aegyptio, quem Onuphin nominant.

COLVNT et nigrum taurum Aegyptii, quem Onuphin vocitant. Loci nomen, ubi nutritur, ipſi referant; ego propter aſperitatem omitto. Pili in eo, contra quam aliis, vertuntur; atque hoc ei proprium eſt. Inter boves magnitudine excellit, ita ut chaonas etiam, quos Theſproti et Epirotae larinos nuncupant, et e Geryonis bobus prognatos dicunt, exſuperet. Paſcitur autem medica herba.

CAP. XII.

Omnium animalium ſaltu praeſtantiſſimos eſſe Delphinos.

NON modo aquatilium beſtiarum, ſed etiam terrenarum, omnium delphinus velociſſimus, et ad ſaliendum praeſtantiſſimus eſt. Navem enim, ſicut Ariſtoteles ait, tranſilit, et cauſam conatur adferre ejuſmodi: quemadmodum urinatores animam continent, ſic ille primo ſpiritum comprimit; deinde corpus, ſicut ſagittam nervo expulſam, jaculatur; nam ſpiritus intus compreſſus, ut ait, et illum et urinatores compellit ac jaculatur.

CAP. XIII.

De Phyſa piſce.

PHYSA Aegyptius piſcis admirabili natura praeditus eſt. Nam eum notionem habere ferunt, quando luna augeatur et diminuatur; ejuſque jecur cum luna pariter decreſcere, pariterque recreſcere; corporiſque habitu modo eſſe opimo, modo gracili et tenui.

CAP.

ΚΕΦ. ιά.

Περὶ ταύρου τοῦ ἐν Αἰγύπτῳ, ὃν Ὄνουφιν καλοῦσι.

ΣΕβουσι δὲ Αἰγύπτιοι καὶ μέλανα ταῦρον, καὶ καλοῦσιν Ὄνουφιν αὐτόν. Καὶ τὸ ὄνομα τοῦ χώρου, ἔνθα τρέφεται, Αἰγύπτιοι λεγέτωσαν ἡμῖν λόγοι· τραχὺ γάρ. Ἀντίαι αὐτῷ τρίχες, ἤπερ οὖν τοῖς ἄλλοις, εἰσίν· ἴδια γάρ τοι καὶ τοῦδε ταῦτα. Μέγιστος δὲ ἦν ἄρα βοῶν οὗτος, καὶ ὑπὲρ τοὺς Χάονας, οὕσπερ καὶ λαρινοὺς καλοῦσι Θεσπρωτοί τε καὶ Ἠπειρῶται, τῆς σπορᾶς τῆς τῶν Γηρυόνου βοῶν γενεαλογοῦντες αὐτούς. Καὶ σιτεῖταί γε Ὄνουφις πόαν μηδικὴν οὗτος.

ΚΕΦ. ιβ'.

Ὅτι πάντων ἁλτικώτατοι Δελφῖνες.

ΟΞύτατος δὲ ἦν ἄρα καὶ ἁλτικώτατος ἰχθύων ὁ δελφὶς, ἀλλὰ καὶ τῶν χερσαίων ἁπάντων. Ὑπερπηδᾷ γοῦν καὶ ναῦν, ὡς Ἀριστοτέλης λέγει, καὶ τήνγε αἰτίαν πειρᾶται προστιθέναι. Καὶ ἔστιν αὕτη, συνεχὲς τὸ πνεῦμα, ὥσπερ οὖν καὶ οἱ ὕφυδροι κολυμβηταί· καὶ γάρ τοι καὶ ἐκεῖνοι καὶ οὗτοι συντείναντες ἔνδον τὸ πνεῦμα, ὥσπερ οὖν νευρὰν, εἶτα τὸ σῶμα ὡς βέλος ἀφιᾶσι· τὸ δὲ θλιβόμενον, φησὶν, ἔνδον ὠθεῖται, καὶ ἐξακοντίζει αὐτούς.

ΚΕΦ. ιγ'.

Περὶ τῆς Φύσης τοῦ ἰχθύος.

Η Δὲ φύσα ἐστὶν ἰχθὺς Αἰγύπτιος, θαυμάσαι ἄξιος. Οἶδε γὰρ, ὥς φασιν, ὁπότε ἡ σελήνη λήγει, οἶδε δὲ αὐτῆς καὶ τὴν αὔξησιν· καὶ οὖν καὶ τὸ ἧπαρ αὐτοῦ συναύξει τῇ θεῷ, ἢ συμφθίνει· καὶ πῆ μὲν εὔτραφής ἐστι, πῆ δὲ λεπτότερος.

CAP. XIV.
De Glani pisce.

GLANIS piscis, incola Maeandri et Lyci Asianorum fluminum, et Europaei Strymonis, speciem siluri similitudinemque gerit. Ex piscibus suorum foetuum amantissimus est: nam simul ut femina peperit, cura quidem illa de partu suo liberatur, veluti puerpera; at vero adsiduum se praestans mas custodem ad conservationem ejus, quam procreavit, sobolis, eam tuetur, et insidiantes pisces omnes arcet. Potest quidem et hamum devorare, Aristotele teste.

CAP. XV.
De Ranis, Hydris, et Crocodilis.

HYDRUM valde et metuit et odit rana, quamobrem multo clamore illum vicissim terrere ac perturbare conatur. Ceterum crocodili malignum ingenium, hominem quoque et alias animantes ut capiat, meditatur insidias; itaque in via, qua novit ad fluvios descensum esse, vel aquandi gratia, vel potandi, equum, camelumve, vel certe ingrediendi navim, aquam noctu, quam plenis buccis hauserit, effundit, idque saepius, ut locum reddat lubricum, ut facilius, quodcunque in eo collapsum fuerit animal, praedetur; labentia enim sustinere se nequeunt, et mox ab illo insiliente, ut jacent, corripiuntur ac devorantur. Addam et aliud nonnihil de hac fera. Cum non pauca sint trochilorum genera, et nomina (quae sane quidem, quoniam auditu dura sunt et aspera, praetereo) haudquaquam sane cum iis omnibus foedere devincitur crocodilus; sed cum solo nuncupato cladarorynicho societatem atque amicitiam colit, nulla enim hic offensione hirudines ei legere potest.

ΚΕΦ. ιδ΄.

Περὶ τȢ ἰχθύος τȢ καλȢμένȢ Λάγνιδος.

Ο Δὲ λάγνις ἐςὶ μὲν περὶ τὸν Μαίανδρον ϗ τὸν Λύκον τȣ̀ς Ἀσιανȣ̀ς ποταμȣ̀ς, τῆς δὲ Εὐρώπης περὶ τὸν Στρύμονα, ϗ Ϲιλȣ́ρῳ μὲν τὸ εἶδος ὅμοιός ἐςι. Πέφυκε δὲ φιλοτεκνότατος ἰχθύων ȣ̂τος· ὅταν γȣ̂ν θήλεια ἀποκυήσῃ, ἡ μὲν ἀφεῖται τῆς ὑπὲρ τῶν τέκνων φροντίδος, οἷα δήπȣ λεχῶσα· ὁ δὲ ἄῤῥην τῇ φρȣρᾷ τῶν βρεφῶν ἑαυτὸν ἐπιτάξας παραμένει, πᾶν ἀνασέλλων τὸ ἐπιβȣλεῦον. Ἱκανὸς δέ ἐςι ϗ ἄγκιςρον καταπιεῖν, ὡς Ἀριςοτέλης φησί.

ΚΕΦ. ιέ.

Περὶ Βατράχων, ϗ Ὕδρων, ϗ Κροκοδείλων.

ΒΑτραχος ὕδρον μισεῖ, ϗ δέδοικεν ἰσχυρῶς, ἐκȣ̂ν τῇ βοῇ τῇ πολλῇ πειρᾶται ἀντεκπλήττειν αὐτὸν ϗ ἀντιφοβεῖν. Κροκοδείλȣ δὲ κακȣργία ϗ ἐκείνη εἰς ἀνθρώπȣ τε θήραν ϗ ζῴȣ ἑτέρȣ ἐτράπη, τίνα τρόπον, δι' ἧς οἶδε καταιόντας εἰς ποταμὸν, ἢ ἐφ' ὑδρείαν, ἢ ἵππȣ τινὸς ἀρδείαν, ἢ καμήλȣ, ἢ ϗ νὴ Δία ὥςε ἐπιβῆναι πλοίȣ, ταύτῃ τοι νύκτωρ ϗ πολλῷ τῷ ὕδατι καταῤῥαίνει ἐμπλήσας τὸ ςόμα, ϗ ἐγχεῖ κατὰ τῆς ἀτραπȣ̂ πολλάκις, ὀλισθηρὰν αὐτὴν ἐργάσασθαι θέλων, ϗ εὐκολωτέραν ἑαυτῷ τὴν ἄγραν ἀποφαίνων· τὰ γάρ τοι καταλισθαίνοντα ȣ̓ κρατεῖ τῆς ἐπιβάθρας, ἀλλ' ἐκεῖνα μὲν κατηνέχθη, ὁ δὲ ὑπεπήδησεν ὑπολαβὼν, ϗ δειπνεῖ. Ὀλίγα δὲ κροκοδείλων πέρι ἐρῶ ϗ νῦν. Οὐ πρὸς πᾶν τὸ τῶν τροχίλων γένος ἐςὶ τῷδε τῷ θηρίῳ ἔνσπονδα (πολλὰ δὲ αὐτῶν γένη ϗ ὀνόματα, τραχέα δὲ, ϗ ἀκȣ̂σαι ἀντίτυπα, ϗ διὰ τȣ̂το ἐῶ αὐτὰ) μόνον δὲ τὸν καλȣ́μενον κλαδαρόρυγχον ἑταῖρον ϗ φίλον ἔχει, δύναται γὰρ ȣ̂τος ἀλύπως ἐκλέγειν αὐτῷ τὰς βδέλλας.

CAP. XVI.

Quaenam animalia juxta Democritum multos foetus partu edant, h. e. Sus, et Canis; item de Muribus.

CVR ſus et canis ſint multiparae, Democritus cauſam adfert, quod multas vulvas, et loca ſemini concipiendo apta multa habeant: ea omnia ſemen non uno initu explet; ſed iterum et ſaepius ea animalia ineuntur, ut coitus frequentia ſeminis receptacula impleantur. Mulas idem non parere ait: nec enim ſimiles aliis vulvas animalibus habere, ſed forma diverſas, nec genitali ſemini recipiendo idoneas; mulas enim non naturae opus eſſe, ſed humanae ſolertiae audaciaeque, ut ita dicam, adulterinum inventum et furtum. Videri autem ſibi ait, aſinum vi equae illata, fortuito gravidam reddidiſſe, ac homines poſtea hujus violentiae diſcipulos factos in conſuetudinem procreandi haec jumenta adduxiſſe. Libycorum aſini maximi non equas comatas ſuperveniunt, ſed duntaxat tonſas; nec enim has comae ornamento ſuperbientes, harum rerum periti aiunt, ejuſmodi maritos pati.

CAP. XVII.

Vbi crebrius Abortus fiant.

IN auſtralibus foetus utero magis excidere Democritus ait, quam in ſeptentrionalibus; idque rationi conſentaneum eſt. Quia ventrem ferentibus corpora auſtro laxentur, et diſſolvantur; idcirco receptaculo dilatato, et longe lateque diffuſo, et male compacto, partus errare et vagari, eoſdemque calefactos huc et illuc dilabi et diffluere, ac jam locis diſcluſis et remiſſis facilius excidere: contra ſi tempeſtas ſit frigida, et ſeptentriones venti ſpirent, locorum adſtrictione foetus contrahi et comprimi, ut de

locis

ΚΕΦ. ιϛʹ.

Τίνα τῶν ζώων πολύγονα κατὰ Δημόκριτον, οἷον Ὗς, καὶ Κύων· καὶ περὶ Μυῶν.

ΛΕγει Δημόκριτος πολύγονα εἶναι ὗν καὶ κύνα, καὶ τὴν αἰτίαν προστίθησι, λέγων, ὅτι πολλὰς ἔχει τὰς μήτρας, καὶ τοὺς τόπους τοὺς δεκτικοὺς τοῦ σπέρματος· ὁ τοίνυν θορὸς οὐκ ἐκ μιᾶς ὁρμῆς ἁπάσας αὐτὰς ἐκπληροῖ, ἀλλὰ δίς τε καὶ τρὶς ταῦτα τὰ ζῶα ἐπιθόρνυται, ἵνα ἡ συνέχεια πληρώσῃ τὰ τοῦ γόνου δεκτικά. Ἡμιόνους δὲ λέγει μὴ τίκτειν· μὴ γὰρ ἔχειν ὁμοίας μήτρας τοῖς ἄλλοις ζώοις, ἑτερομόρφους δὲ, ἥκιστα δυναμένας γονὴν δέξασθαι· μὴ γὰρ εἶναι φύσεως ποίημα τὴν ἡμίονον, ἀλλὰ ἐπινοίας ἀνθρωπίνης, καὶ τόλμης, ὡς ἂν εἴποις, μοιχίδιον ἐπιτέχνημα τοῦτο καὶ κλέμμα. Δοκεῖ δέ μοι τοῦτο, ἦδ' ὃς, ὄνος ἵππον βιασάμενος κατὰ τύχην κυῆσαι, μαθητὰς δὲ ἀνθρώπους τῆς βίας ταύτης γεγενημένους εἶτα μέντοι προσελθεῖν ἐπὶ τὴν τῆς γονῆς αὐτῶν συνήθειαν. Καὶ μάλιστά γε τοὺς τῶν Λιβύων ὄνους μεγίστους ὄντας ἐπιβαίνειν ταῖς ἵπποις οὐ κομώσαις, ἀλλὰ κεκαρμέναις· ἔχουσα γὰρ τὴν ἑαυτῆς ἀγλαΐαν τὴν διὰ τῆς κόμης οὐκ ἂν ὑπομεῖναι τὸν τοιόνδε γαμέτην, οἱ σοφοὶ τοὺς τούτων γάμους φασί.

ΚΕΦ. ιζʹ.

Ποῦ μᾶλλον ἐξαμβλίσκεται τὰ Ἔμβρυα.

ΕΝ τοῖς νοτίοις μᾶλλον τὰ ἔμβρυα ἐκπίπτειν Δημόκριτος λέγει, ἢ ἐν τοῖς βορείοις· καὶ εἰκότως. Χαυνοῦσθαι γὰρ ὑπὸ τοῦ νότου τὰ σώματα ταῖς κυούσαις, καὶ διΐστασθαι· ἅτε τοίνυν τοῦ σκήνους διακεχυμένου καὶ οὐχ ἡρμοσμένου, πλανᾶσθαι καὶ τὰ κυούμενα, καὶ θερμαινόμενα δεῦρο καὶ ἐκεῖσε διολισθαίνειν, καὶ ἐκπίπτειν ῥᾷον· εἰ δὲ εἴη πάγος, καὶ Βορρᾶς καταπνέοι, συμπέπηγε

πέπηγε

locis dimoveri ac dipelli non queant, nec ſane diſſolutione et laxitate quaſi tempeſtate quati; praeſertim cum ab perturbatione conquieſcant, et firmiſſima ſede diſtringantur, ita ut facile ad pariendi tempus durare poſſint. Quamobrem frigida conſtitutione, inquit Abderita, foetus manent, calore vero ut plurimum excidunt; hoc enim ſuperante, fieri poſſe negat, quin nervi et artus laxentur et fatiſcant.

C A P. XVIII.

Quam ob cauſam Cervorum cornua renaſcantur.

CAVSAM cervis cur cornua renaſcuntur, idem Democritus eam dicit: Ventrem iis calidiſſimum eſſe; et eorum venas per univerſum corpus pertinentes eſſe rariſſimas; et os, quod cerebrum amplectitur, membranae inſtar tenuiſſimum et perrarum eſſe, indeque ad ſummum capitis verticem craſſiſſimas venas exoriri; itaque fieri, ut nutrimentum, et cibi pars utilior, celeriter a nativo calore digeratur: ex eo autem quod pinguius eſt, extrinſecus ipſis circumfundi, ait; quod ſolidius, per venas in caput retorqueri, et reflecti, ac inde cornua permulto humore irrigata enaſci. Hic influxus cum continenter fiat, quod ex eo coaluerit, promovetur et truditur foras, et ſubinde ſuccreſcit aliud atque aliud; quicquid igitur ejus extra corpus eminet, dureſcit ab aere eum ipſum conſolidante, et in corneam duritatem confirmante; id autem, quod etiam nunc intra cutem ſubeſt, molle et tenerum eſt. Quocirca recens cornu ſubnaſcens, et intrinſecus premens, vetus tanquam alienum expellit, dum veluti parturiens turget, et in lucem emergere gliſcit, morae interioris impatiens. Et humor quidem recenter concreſcens ad depellendum antiquum infirmus eſt, at dureſcens priora extrudere poteſt. Itaque vetera

cornua

πέπηγε μὲν τὸ ἔμβρυον, δυσκίνητον δέ ἐστι, καὶ οὐ ταράττεται ὡς ὑπὸ κλύδωνος· ἅτε δὲ ἄκλυστον καὶ ἐν γαλήνῃ ὄν, ἔῤῥωταί τε, καί ἐστι σύντονον, καὶ διαρκὲς πρὸς τὸν κατὰ φύσιν χρόνον τῆς ζωογονίας. Οὐκοῦν ἐν κρυμῷ μέν φησιν ὁ Ἀβδηρίτης συμμένειν, ἐν ἀλέᾳ δὲ ὡς τὰ πολλὰ ἐκπτύεται· ἀνάγκην δὲ εἶναι λέγει, τῆς θέρμης πλεοναζούσης, διΐστασθαι καὶ τὰς φλέβας καὶ τὰ ἄρθρα.

ΚΕΦ. ιή.

Διὰ ποίαν αἰτίαν ἀναφύεται τῶν Ἐλάφων τὰ κέρατα.

Αἰτίαν δὲ ὁ αὐτὸς λέγει τοῖς ἐλάφοις τῆς τῶν κεράτων ἀναφύσεως ἐκείνην εἶναι· Ἡ γαστὴρ αὐτοῖς ὡς ἔστι θερμοτάτη, ὁμολογεῖ· καὶ τὰς φλέβας δὲ αὐτῶν τὰς διὰ τοῦ σώματος πεφυκυίας παντὸς ἀραιοτάτας λέγει· καὶ τὸ ὀστέον τὸ κατειληφὸς τὸν ἐγκέφαλον λεπτότατον εἶναι καὶ ὑμνῶδες καὶ ἀραιόν, φλέβας τε ἐντεῦθεν καὶ ἐς ἄκραν τὴν κεφαλὴν ὑπανίσχειν παχυτάτας· τὴν γοῦν τροφήν, καὶ ταύτης τε τὸ γονιμώτατον, ὤκιστα ἀναδίδοσθαι· καὶ ἡ μὲν πιμελὴ αὐτοῖς ἔξωθεν, φησί, περιχεῖται· ἡ δὲ ἰσχὺς τῆς τροφῆς ἐς τὴν κεφαλὴν διὰ τῶν φλεβῶν ἀναθόρνυται, ἔνθεν οὖν τὰ κέρατα ἐκφύεσθαι διὰ πολλῆς ἐπαρδόμενα τῆς ἰκμάδος. Συνεχὴς οὖν οὖσα, ἐπιῤῥέουσά τε, ἐξωθεῖται προτέρα· καὶ τὸ μὲν ὑπερίσχον ὑγρὸν ἔξω τοῦ σώματος σκληρὸν γίνεται, πηγνύντος αὐτὸ καὶ κερατοῦντος τοῦ ἀέρος· τὸ δὲ ἔνδον ἔτι μεμυκὸς ἁπαλόν ἐστι· καὶ τὸ μὲν σκληρύνεται ὑπὸ τῆς ἔξωθεν ψύξεως, τὸ δὲ ἁπαλὸν μένει ὑπὸ τῆς ἔνδον ἀλέας. Οὐκοῦν ἡ ἐπίφυσις τοῦ νέου κέρατος τὸ πρεσβύτερον ὡς ἀλλότριον ἐξωθεῖ, θλίβοντος τοῦ ἔνδον καὶ ἀνωθεῖν τοῦτο ἐθέλοντος καὶ ὀδυνῶντος, καὶ σφύζοντος, ὥσπερ οὖν ἐπειγομένου τεχθῆναι καὶ προελθεῖν. Ἡ γάρ τοι ἰκμὰς πηγνυμένη, καὶ ὑπανατέλλουσα, ἀτρεμεῖν ἀδύνατός ἐστι, δύναται γὰρ καὶ αὐτὴ σκληρά, καὶ ἐπωθεῖται τοῖς προτέροις. Καὶ τὰ μὲν πλείω ἐκθλίβονται ὑπὸ

cornua pleraque interno robore expelluntur; nonnulla arborum ramis circumplicata, et feram ad curſum incitatam vi impedientia, abrumpuntur; et ſic veteribus eliſis, recentia ad erumpendum parata naturae munere proferuntur.

C A P. XIX.

De genere Bubulo caſtrato et non caſtrato, quomodo cornibus differat.

BVBVLO pecori caſtrato Democritus ait tortuoſa, gracilia, longa naſci cornua; contra teſtibus praedito enaſci ſecundum radicem craſſa, recta, minuſque prolixa; eoſdemque latiori, quam alteros, fronte eſſe. Nam hic ibidem cum multae venae ſunt, ab iis oſſa dilatantur; ſimul et cornuum eruptio, quoniam craſſior exſiſtat, frontis latitudinem promovet: caſtratis vero, quod ſedes cornuum et initium enaſcendi perparvum habeat circulum, minus, ut ait, haec pars dilatatur.

C A P. XX.

De Bobus mutilis.

PORRO mutili boves, foraminulentam, ut Democritus vocat, cranii partem, et poris ſeu meatibus plenam, non habent; ſed os univerſum ſolidum, quod cum adfluxum humorum non admittat, ut cornibus nudi ac mutili ſint, in cauſa eſt. Venae etiam circa idem os cum pertenues et infirmae ſint, minus alimenti continent. Sed cervix quoque mutilorum boum neceſſario ſiccior eſt; cum in ea ſimiliter graciliores habeantur venae, et idcirco minus validae. Ceterum Arabicis vaccis egregia naſcuntur cornua; quod ad ea ſcilicet, inquit ille, humor copioſus, unde generoſa

τῆς ἰσχύος τῆς ἔνδον· ἤδη δέ τινα καὶ κλάδοις περισχεθέντα, καὶ ἐμποδίζοντα εἰς τὸν ὠκὺν δρόμον ὑπὸ ῥώμης τὸ θηρίον ὠθέμενον, ἀπήῤῥαξε· καὶ τὰ μὲν ἐξώλισθε, τὰ δὲ ἕτοιμα ἐκκύπτειν ἡ φύσις προάγει.

ΚΕΦ. ιθ΄.

Περὶ τῶν τομίων Βοῶν, καὶ μὴ τομιῶν, πῶς διαφέρουσι κατὰ τὰ κέρατα.

ΟΙ τομίαι βόες, Δημόκριτος λέγει, σκολιά, λεπτά, καὶ μακρὰ φύεται τὰ κέρατα αὐτοῖς· τοῖς δὲ ἐνόρχοις παχέα τὰ πρὸς τῇ ῥίζῃ, καὶ ὀρθά, καὶ πρὸς μῆκος προήκοντα ἧττον· καὶ πλατυμετώπους εἶναι λέγει τούτους τῶν ἑτέρων πολλῷ μᾶλλον. Τῶν γὰρ φλεβῶν πολλῶν ἐνταῦθα οὐσῶν, εὐρύνεσθαι τὰ ὀστέα ὑπ᾽ αὐτῶν· καὶ ἡ ἔκφυσις δὲ τῶν κεράτων παχυτέρα οὖσα, εἰς πλάτος τὸ αὐτὸ τῷ ζώῳ μέρος προάγει καὶ ἐκείνη· οἱ δὲ τομεῖς μικρὸν ἔχοντες τὸν κύκλον τῆς ἕδρας τῆς τῶν κεράτων, πλατύνονται ἧττον, φησί.

ΚΕΦ. κ΄.

Περὶ τῶν ἀκεράτων Ταύρων.

ΟΙ δὲ ἄκερω ταῦροι τὸ θρηνῶδες, οὕτω δὲ ὀνομάζει Δημόκριτος, ἐπὶ τοῦ βρέγματος οὐκ ἔχοντες (εἴη δ᾽ ἂν τὸ σηραγγῶδες λέγων) ἀντιτύπου τοῦ παντὸς ὄντος ὀστέου, καὶ τὰς συῤῥοίας τῶν χυμῶν οὐ δεχομένου, γυμνοί τε καὶ ἄμοιροι γίνονται τῶνδε τῶν ἀμυντηρίων. Καὶ αἱ φλέβες δὲ αἱ κατὰ τοῦ ὀστέου τοῦδε ἀτροφώτεραι οὖσαι, λεπτότεραί τε καὶ ἀσθενέστεραι γίνονται. Ἀνάγκη δὲ καὶ ξηρότερον τὸν αὐχένα τῶν ἀκεράτων εἶναι· λεπτότεραι γὰρ καὶ αἱ τούτων φλέβες, ταύτῃ τοι καὶ ἐῤῥωμέναι ἧττον. Ὅσαι δὲ Ἀράβιοι βόες θήλειαι μέν εἰσι τὸ γένος, εὐφυεῖς δὲ ἐς τὰ κέρατα· καὶ ταύταις τις ἐπισύῤῥοια πολλὴ τῶν χυμῶν, φησὶ, τροφὴ τῆς εὐγενοῦς βλάστης τοῖς

generoſa illa germina nutriuntur, confluat. Ex iiſdem quae cornibus carent, os humorem capere ſolitum ſolidius habent, et haudquaquam hunc ipſum ſibi humorem recipere idoneum. In ſumma igitur, incrementi cauſa cornibus exſiſtit influentia, quam ſane plurimae et craſſiſſimae venae humore, quantum ferre poſſunt, gravidatae infundunt.

CAP. XXI.

Quod Aquila infantem ſervavit.

EST et amor et benignitas erga homines animalibus propria. Nam aquila olim infantem ſervavit. Sed operae pretium eſt hiſtoriam integram explicare, amplum ſententiae noſtrae teſtimonium futuram. Sacchorae Babyloniorum regis naſciturum e filia nepotem, et regnum avo adempturum, Chaldaei praedixerunt. Hoc ille metuens, ut aliquid joco dicam, Acriſius erga filiam ſuam redditur; arctiſſima enim cuſtodia eam adſervari juſſit. At filia (nam Babylonii regis ſapientiam ſuperabat fatum) ex obſcuro homine foetu concepto peperit. Natum autem ex ea infantem cuſtodes regis metu ex arce civitatis, ubi filia incluſa erat, praecipitarunt. Aquila vero acutiſſimis oculis infantem dejici videns, priuſquam terrae allideretur, volando ſubiens eum dorſo excepit, et in hortum quendam deportatum leniter depoſuit. Ille autem, qui horti curam agebat, pulcro puerulo conſpecto, eum dilexit, atque educavit; idemque Gilgamus appellatus Babyloniorum rex fuit. Hoc ſi cui fabula videtur, me quoque non approbare illi fatebor. Audio tamen Achaemenen Perſam quoque, a quo nobilis Perſarum proſapia deſcendit, aquilae alumnum fuiſſe.

κέρασίν ἐστιν. Ἄκερω δὲ καὶ αὗται, ὅσαι τὸ δεκτικὸν τῆς ἰκμάδος ὀστέον στερεώτερόν τε ἔχουσι καὶ δέχεσθαι τοὺς χυμοὺς ἥκιστον. Καὶ συνελόντι εἰπεῖν, αὔξης ἡ ἐπιῤῥοὴ αἰτία τοῖς κέρασι, ταύτην δὲ ἄρα ἐποχετεύουσι φλέβες πλεῖσταί τε, καὶ παχύταται, καὶ ὑγρὸν κύουσαι, ὅσον καὶ δύνανται στέγειν.

ΚΕΦ. κά.

Ὅτι καὶ Αἰετὸς ἀνθρώπου βρέφος ἔσωσε.

Ἴδιον δὲ τῶν ζώων καὶ ἡ φιλανθρωπία. Αἰετὸς γοῦν ἔθρεψε βρέφος. Καὶ εἰπεῖν τὸν πάντα λόγον ἐθέλω, ὡς ἂν γένοιτο μάρτυς ὧν προεθέμην. Βαβυλωνίων βασιλεύοντος Σακχόρου, Χαλδαῖοι λέγουσι τὸν γινόμενον ἐκ τῆς ἐκείνου θυγατρὸς, τὴν βασιλείαν ἀφαιρήσεσθαι τὸν πάππον· καὶ Χαλδαίων μὲν ἦν τὸ προειρημένον θέσπισμα. Τοῦτο ἐκεῖνος πέφρικε, καὶ, ἵνα εἴπω τι καὶ ὑποπαίξας, Ἀκρίσιος γίνεται εἰς τὴν παῖδα· ἐφρούρει γὰρ πικρότατα. Λάθρα δὲ ἡ παῖς (ἦν γὰρ τοῦ Βαβυλωνίου σοφώτερον τὸ χρεὼν) τίκτει ὑποπλησθεῖσα ἔκ τινος ἀνδρὸς ἀφανοῦς. Τοῦτον οὖν οἱ φυλάττοντες δέει τοῦ βασιλέως ἔῤῥιψαν ἐκ τῆς ἀκροπόλεως, ἦν γὰρ ἐνταῦθα ἀφειργμένη ἡ προειρημένη. Οὐκοῦν ὁ αἰετὸς τὴν ἔτι τοῦ παιδὸς καταφορὰν ὀξύτατα ἰδὼν, πρὶν ἢ τῇ γῇ προσαῤῥαχθῆναι τὸ βρέφος, ὑπῆλθεν αὐτὸ, καὶ τὰ νῶτα ὑπέβαλεν, καὶ κομίζει ἐς κῆπόν τινα, καὶ τίθησι πεφεισμένως εὖ μάλα. Ὁ τοίνυν τοῦ χώρου μελεδωνὸς καλὸν παιδίον θεασάμενος, ἐρᾷ αὐτοῦ, καὶ τρέφει· καὶ καλεῖται Γίλγαμος καὶ βασιλεύει Βαβυλωνίων. Εἰ δέ τῳ δοκεῖ μῦθος τοῦτο, σύμφημι πειρώμενον εἰς ἰσχὺν κατεγνωκέναι αὐτόν. Ἀλλ' Ἀχαιμένη μὲν τὸν Πέρσην, ἀφ' οὗ κάτεισιν ἡ τῶν Περσῶν εὐγένεια, αἰετοῦ τρόφιμον ἀκούω γενέσθαι.

CAP. XXII.

De Canibus circa templum Dianae in Creta.

In Creta Dianae Roccaeae templum eſt, circa quod cum rabie corripiuntur canes, vehementer ex ea laborant; adeo quidem, ut ex promontorio in mare ſe praecipites dent.

CAP. XXIII.

De Leonibus manſuetis in aede Adonidis.

In Elymaea regione Adonidis templum eſt, et in eo manſueti leones, qui homines templum ingredientes, tanquam ſalutatos, adulando excipiunt. Eos ſi ad cibum advoces, tanquam invitati convivae accedunt; et quicquid porrexeris, poſtquam acceperint, modeſte et decenter abeunt.

CAP. XXIV.

De Hygrophoenice piſce in mari Rubro.

Piscem in mari Rubro naſci ferunt, cui nomen hygros [hoc eſt, humidus vel aquaticus] phoenix; is nigris lineis, quas coeruleae variant maculae, diſtinguitur.

CAP. XXV.

De Lacerto, Charace, et Sagittario, ejuſdem maris piſcibus.

Eiusdem maris lacertus eſt, cujus magnitudo ei, qui naſcitur apud nos, aequalis eſt; ſed virgatus ſpectatur, lineis nimirum aureolis circumdatur a branchiis ad caudam pertinentibus, quas

ΚΕΦ. κβ´.

Περὶ τῶν Κυνῶν τῶν παρὰ τῷ ναῷ τῆς Ἀρτέμιδος ἐν τῇ Κρήτῃ.

ΕΝ δὲ Κρήτῃ Ῥοκκαίας, οὕτως Ἀρτέμιδος καλεῖται νεὼς, ἐνταῦθα οἱ κύνες λυττῶσιν ἰσχυρῶς, ἐς ταύτην ὅταν τὴν νόσον ἐμπέσωσιν· εἶτα μέντοι ἑαυτοὺς ἐκ τῆς ἄκρας ἐπὶ τὴν κεφαλὴν ὠθοῦσιν εἰς τὴν θάλατταν.

ΚΕΦ. κγ´.

Περὶ τῶν ἐν Ἀδώνιδος τιθασσῶν Λεόντων.

ΕΝ τῇ Ἐλυμαίᾳ χώρᾳ νεώς ἐστιν Ἀδώνιδος, καί εἰσιν ἐνταῦθα τιθασσοὶ λέοντες, καὶ τοὺς ἐς τὸν νεὼν παριόντας ἀσπάζονταί τε καὶ σαίνουσι. Καὶ εἰ καλοίης ἐσθίειν, οἷδε ὡς κλητοὶ δαιτυμόνες ἔρχονται· καὶ ὅσ᾽ ἂν ὀρέξῃς λαβόντες, εἶτα ἀπίασι σωφρόνως τε καὶ κεκοσμημένως.

ΚΕΦ. κδ´.

Περὶ τοῦ ἐν τῇ Ἐρυθρᾷ καλουμένου Ὑγροῦ Φοίνικος.

ΕΝ τῇ θαλάσσῃ τῇ Ἐρυθρᾷ ἰχθὺς γίνεται, φασὶ, καὶ ὄνομα αὐτῷ ὑγρὸς φοῖνιξ· καὶ γραμμὰς ἔχει μελαίνας, καὶ μεταξὺ τούτων κυανέαις σταγόσι κατέστικται.

ΚΕΦ. κέ.

Περὶ Σαύρου, καὶ Χάρακος, καὶ Τοξότου τῆς αὐτῆς θαλάττης ἰχθύων.

ΤΩι δὲ σαύρῳ τῷ ἐκεῖθι τὸ μὲν μῆκος, τῷ κατὰ τὴν ἡμετέραν γινομένῳ ἴσον ἐστί· ῥάβδοι δὲ αὐτὸν περιέρχονται χρυσῷ προσεικασμέναι, ἀπὸ τῶν βραγχίων ἐς τὴν οὐρὰν καθή-
κουσαι,

quas media argentea diſtinguit; ore eſt hianti, maxilla inferior eminet in ſuperiorem; virides oculos habet, quos aureo fulgore palpebrae ambiunt. Ejus item maris foetura eſt charax nuncupatus piſcis; is pinnas habet et utrinque et in tergo auricolores, inferiores partes purpureis cingulis illuſtrantur, ſimiliter ejuſdem cauda auri colorem gerit, purpureus color medios oculos pulchre adumbrat. Sagittarius in eodem mari procreatur, echini ſpeciem et ſimilitudinem habens; ac firmis et longis armatur aculeis.

CAP. XXVI.
De Hyſtrice Libyca.

HYSTRICES Libycae eos, a quibus attinguntur, acerbe pungunt, et aculei eorum non leves dolores inferunt; quinetiam ſi mortuae ſint, aculeorum puncturas noxias eſſe aiunt.

CAP. XXVII.
De Simia maris Rubri.

EST etiam in mari Rubro ſimia, non piſcis quidem haec, ſed beſtia cartilaginea, velut ſquamarum expers, non magna. Colore eſt terreſtri ſimilis, tum facie ſpeciem ſimilitudinemque ejuſdem gerit. Non piſceo tegmine reliquum corpus, ſed illiuſmodi circumveſtitur, cujuſmodi teſtudinis involucrum eſt. Eadem, ſimiliter atque terreſtris, leviter ſima eſt; reliquum corpus inſtar torpedinis latum eſt, ut dicas avem eſſe alas explicantem; et cum natat, volare videtur. In hoc vero a terreſtri differt, quod

κουσαι, μέση δὲ αὐτὰς διαλέμνει χρυσῆ ἀργύρῳ προσεικασμένη· τὸ στόμα δὲ αὐτῷ κέχηνε, ϗ ἡ κάτω γένυς ἐς τὴν ἄνω νεύειν ὑποπέφυκε· πρασίνους δὲ ἔχει τοὺς ὀφθαλμούς. Βλέφαρα δὲ αὐτοὺς περιέρχεται χρυσοειδῆ. Ἔστι δὲ ϗ ὁ χάραξ ὁ καλούμενος τῆς αὐτῆς θαλάττης θρέμμα· ἔχει δὲ πτερύγια, ϗ χρυσῷ προσείκασται, ὅσα γε ἰδεῖν τὰ παρ' ἑκάτερα, ϗ νωτιαῖα ὅσα, ϗ ταῦτα ἔχει χρυσοειδῆ· κατωτέρω δὲ ἄρα εἰσὶ πορφυραῖ ζῶναι τὴν χρόαν, χρυσοειδὲς δὲ ϗ τὸ οὐραῖόν μοι νόει τοῦ αὐτοῦ, πορφυραῖ δὲ ἄρα γε σκιαὶ τοὺς ὀφθαλμοὺς αὐτῷ μέσους ἐς κάλλος εἰσγράφουσιν. Ὁ δὲ τοξότης ἐν τῇ αὐτῇ θαλάττῃ γενόμενος, ἐχίνῳ ὅμοιός ἐστι τὸ εἶδος· κέντρα δὲ ἔχει στερεὰ ϗ μακρά.

ΚΕΦ. κϛ΄.

Περὶ Ὕστριχος τῆς Λιβυκῆς.

ΑΙ δὲ ὕστριχες αἱ Λιβυκαὶ κεντοῦσί γε τοὺς ἁπτομένους πικρῶς· ϗ μέντοι ϗ ὀδύνας ἐνεργάζονται χαλεπὰς τὰ κέντρα· ϗ τεθνεώτων δὲ πονηρὰ τὰ ἐκ τῶν ἀκανθῶν νύγματα ἀπαντᾷ, ὥς φασιν.

ΚΕΦ. κζ΄.

Περὶ τοῦ ἐν Ἐρυθρᾷ θαλάττῃ Πιθήκου.

ΕΣτι δὲ ἐν θαλάττῃ τῇ ἐρυθρᾷ ϗ πίθηκος, οὐκ ἰχθύς, ἀλλὰ σελαχῶδες ζῶον, οἱονεὶ ἄλεπον, οὐ μέγα δὲ οὐδὲ τοῦτο. Ἔοικέ γε μὴν τῷ χερσαίῳ ὁ θαλάσσιος τὴν χρόαν, ϗ τὸ πρόσωπον δὲ πιθηκῶδές οἱ ἐστί· προβέβληται δὲ τοῦ λοιποῦ σώματος ἔλυτρον, οὐκ ἰχθυῶδες, ἀλλὰ ὥς γε τὸ τῆς χελώνης εἶναι. Ὑπόσιμος δὲ ϗ οὗτος, οἷα δήπου ϗ ὁ χερσαῖος· τὸ ἄλλο σῶμα πλατὺς, κατὰ σχῆμα τὸ τῆς νάρκης, ὡς εἰπεῖν ὄρνιν εἶναι τὰς πτέρυγας ἁπλώσαντα· ϗ νηχόμενός γε ἔοικε πετομένῳ. Παραλλάττει δὲ τῷ χερσαίῳ ϗ ταύτῃ, κατάστικτός

ἐστι·

quod varie diſtinguitur; et ruffa eſt cervice, ut branchiis quoque. Os vero non in ſumma facie oblongum ei prominet, ſed hac etiam parte modice ſima terreſtrem repraeſentat ſibi cognatam.

CAP. XXVIII.

De avibus ſonum mutantibus, ut Luſcinia, Merula, Turdo, tam volucri, quam marina; item de Merula marina, aliiſque, et de Lupo cervario.

LVSCINIA colorem et vocem per aeſtatem in aliam ſpeciem immutat; neque enim ſic cantum variat, diſtinguit, inflectit, acuit, quemadmodum verno tempore. Merula aeſtate quidem canit: at hieme ſtrepit, et inconditam vocem edit; et, quaſi veſtis mutatione facta, ex nigro colore in ruffum convertitur. Turdus vero conſpicitur magis murino colore, aeſtate varietate circa collum coloris diſtinguitur. Et vero piſces ex alio colore in alium mutabiles ſunt, ut turdi, merulae, fucae, maenides. Lupi item cervarii, ut Ariſtoteles refert, aeſtivo tempore a pilis nudi, hiberno contra hirti efficiuntur.

CAP. XXIX.

De Siluro.

IN Bubaſto Aegyptia ſtagnum eſt, quod cicures permultos ſiluros, eoſque piſcium manſuetiſſimos alit; quibus fruſta panis objiciunt, ad quae certatim ii adſilientes paſcuntur. Iidem etiam in fluminibus procreantur, ut in Cydno Ciliciae fluvio: ſed ii quidem idcirco minuti proveniunt, quod ejus confluens nitidiſſimus et frigidus ſit; quo non ipſi delectantur, ſed turbido

potius

ἐστι· πυῤῥοὶ δέ εἰσιν οἱ κατὰ τοῦ ἰνίου πλατεῖς, ὡς βράγχια. Τὸ δὲ στόμα οὐκ ἐπ' ἄκρῳ τῷ προσώπῳ ἔχει μακρὸν, ξυμφυῶς δὲ τῇ τοῦ χερσαίου πλάσει, καὶ κατὰ τοῦτο ὁ ἰχθὺς εἰκασμένος.

ΚΕΦ. κή.

Περὶ τῶν ὀρνίθων τῶν μεταβαλλόντων τὰς ᾠδὰς, οἷον Ἀηδόνος, Κοσσύφου, Κίχλης, πηνῆς τε καὶ θαλαττίας· ἔτι δὲ Κοσσύφου καὶ αὐτοῦ θαλαττίου, καὶ λοιπῶν ἑτέρων, καὶ Θωὸς τοῦ χερσαίου.

Η Ἀηδὼν διὰ τοῦ θέρους καὶ τὴν χρόαν ἐκτρέπει εἰς εἶδος ἕτερον, καὶ μεταβάλλει τὸ φώνημα· οὐ γὰρ ᾄδει πολυήχως καὶ ποικίλως, ἑτέρως δὲ ἤπερ οὖν διὰ τοῦ ἦρος. Κόσσυφος δὲ θέρους μὲν ᾄδει, χειμῶνος δὲ παταγεῖ, καὶ τεταραγμένον φθέγγεται· καὶ τὴν χρόαν, ὡς στολὴν, μεταμφιασάμενος ὑπὸ τοῦ πρόσθεν μέλανος ὑπόξανθός ἐστιν. Ἥγε μὴν κίχλη χειμῶνός ἐστι ψαροτέρα ἰδεῖν, θέρους δὲ τὸν αὐχένα ποικίλον ἐπιδείκνυσι. Καὶ ἰχθῦς δὲ τὴν χρόαν μεταβλητικοὶ οἵδε, κίχλαι τε, καὶ κόσσυφοι καὶ φυκίδες τε, καὶ μαινίδες. Οἱ δὲ θῶες, ὡς Ἀριστοτέλης λέγει, διὰ μὲν τοῦ θέρους εἰσὶ ψιλοὶ, δασεῖς δὲ διὰ τοῦ χειμῶνος.

ΚΕΦ. κθ΄.

Περὶ Σιλούρου.

ΕΝ Βουβάστῳ δὲ τῇ Αἰγυπτίᾳ λίμνη ἐστὶ, καὶ τρέφει Σιλούρων πάμπολυ πλῆθος, καὶ χειροήθεις εἰσὶν οὗτοί γε, καὶ ἰχθύων πρᾳότατοι· καὶ ἐμβάλλουσιν αὐτοῖς ἄρτων τρύφη, οἱ δὲ ἀνασκιρτῶσι, καὶ πηδῶντες ἄλλος πρὸ ἄλλου τὰς ἐμβαλλομένας τροφὰς ἐκλέγουσι. Γίνεται δὲ ἄρα ὁ ἰχθὺς ὅδε καὶ ἐν ποταμοῖς, ὥσπερ οὖν ἐν τῷ Κύδνῳ τῷ Κιλικίῳ· βραχὺς δὲ οὗτός ἐστι τὸ μέγεθος· τὸ δὲ αἴτιον· οὐ τρέφει ἀφθόνως διειδὲς νᾶμα καὶ καθαρὸν, καὶ προσέτι καὶ ψυχρὸν, καὶ τοιοῦτος δὲ ὁ Κύδνος ἐστί· τεθο-

potius, ac plane limoſo, eoque pingueſcunt. Pyramus quidem atque Sarus, Ciliciae fluvii, eos longe pleniores ferunt; tum Orontes Syrorum fluvius eos progignit; Ptolemaeorum item fluvius, et Apamienſe ſtagnum, maximos generant.

CAP. XXX.

Quod multis in locis manſuefacti et cicures ſint Piſces, et, ſi appellantur, ſe vocantibus obtemperent.

PERMVLTIS quidem locis manſuefacti piſces, et ſe appellantibus obtemperantes, et cibos objectos libenter excipientes, aluntur: ut in Epiroticae, olim nuncupatae Stephanepoleos, templo Fortunae, in vivariis [ſive canalibus] utrinque juxta adſcenſum; atque in Peloro Siculo, olim Syracuſiorum propugnaculo. In templo etiam Iovis Labrandei fons nitidus manſuetos piſces habet, monilibus et aureolis inauribus ornatos; quod quidem templum ſeptuaginta ſtadia ab urbe Mylaſiorum diſtat. Ex hujus Iovis ſtatua gladius eſt appenſus, et colitur deus Carii Stratiique cognomine; quod Cares primi ſtipendia meruerunt, et pecunia militarunt, loris clypeos appenderunt, criſtas galeis accommodarunt. Cares autem ſunt appellati a Care Iovis et Cretae filio; at Iupiter Labrandeus nominatus eſt, quod multo et impetuoſo imbre pluiſſet. In Chio ad portum nuncupatum Γερόντων [ſenum] cicurum magnus eſt piſcium numerus, quos Chii ad ſolatium ſenectutis exacta aetate adfectis alunt. Inter Euphratem et Tigridem regione media fons intereſſe praedicatur, cujus aqua uſque ad imam ſedem perlucida eſt, et aquam limpidiſſimam emittit, unde fluvius emanat Burrhas, ubi piſcium manſuetorum

greges

λωμένῳ δὲ ϗ ἰλύος μεςῷ φιληδεῖ μᾶλλον, ϗ ἐνταῦθα πιαίνεται. Πύραμος δὲ ϗ Σάρος τρέφȣσι τȣ́των ἀθρόȣς, ϗ ȣ̃τοι δὲ Κίλικές εἰσι· εἶεν δ' ἂν οἱ αὐτοὶ τρόφιμοι ϗ Ὀρόντȣ τȣ̃ Σύρων· ϗ μέντοι ϗ Πτολεμαίων ποταμὸς μεγίςȣς τρέφει, ϗ λίμνη δὲ ἡ Ἀπαμεῖτις.

ΚΕΦ. λ'.

Ὅτι πολλαχόθι εἰσὶ χειροήθεις Ἰχθῦς ϗ πρᾶοι, ϗ ἐν τῷ καλεῖσθαι ὑπακȣ́οντες.

Χειροήθεις δὲ ἰχθῦς, ϗ ὑπακȣ́οντες τῇ κλήσει, ϗ τροφὰς ἀσμένως δεχόμενοι, πολλαχόθι ϗ εἰσὶ, ϗ τρέφονται· ὥσπερȣ̃ν ϗ ἐν Ἠπείρῳ, ἐνεςῶτι μὲν τῇ πόλει, ἣν ἐκάλȣν πάλαι Στεφανήπολιν, ἐν τῷ νεῷ τῆς Τύχης, ἐν ταῖς παρ' ἑκάτερα ἀνιόντων δεξαμεναῖς· ϗ ἐν Χλωρῷ δὲ τῆς Σικελίας, ὅπερ ἦν πάλαι Συρακȣσίων φρȣ́ριον. Καὶ ἐν τῷ ἱερῷ δὲ τȣ̃ Λαβράνδεω Διός ἐςι κρήνη διειδȣ̃ς νάματος, ϗ ἔχȣσιν ὁρμίσκȣς χρυσȣ̃ς, ϗ ἐλλόβια· χρυσᾶ μέντοι ϗ ταῦτα· ἀφέςηκε δὲ ὁ νεὼς τȣ̃ Διὸς τȣ̃δε τῆς Μυλασέων πόλεως ςαδίȣς ἑβδομήκοντα. Εἰς τόδε ἄγαλμα ξίφος παρήρτηται, ϗ τιμᾶται, καλȣ́μενος Κάριός τε ϗ Στράτιος· πρῶτοι γὰρ οἱ Κᾶρες ἀγορὰν πολέμȣ ἐπενόησαν, ϗ ἐςρατεύσαντο ἀργυρίȣ, ὄχανά τε ταῖς ἀσπίσι προσήρτησαν, ϗ λόφȣς ἐνέπηξαν τοῖς κράνεσιν. Ἐκλήθησαν δὲ τὸ ὄνομα τȣ̃το ὑπὸ Καρὸς τȣ̃ Κρήτης ϗ Διὸς, Ζεὺς δὲ Λαβρανδεὺς ὕσας λάβρῳ ϗ πολλῷ τὴν ἐπωνυμίαν τήνδε ἠνέγκατο ἔχειν. Καὶ ἐν τῷ Χίῳ δὲ, ἐν τῷ καλȣμένῳ Γερόντων λιμένι, τιθασσῶν ἰχθύων πλῆθός ἐςιν, ȣ̔́σπερ ȣ̃ν εἰς παραμυθίαν τȣ̃ γήρως τοῖς πρεσβυτάτοις οἱ Χῖοι τρέφȣσι. Καὶ ἐν τῇ γῇ δὲ τῇ τῶν ποταμῶν τȣ̃τε Εὐφράτȣ ϗ τȣ̃ Τίγριδος μέση πηγὴ ὑμνεῖται, ϗ εἰς βυθὸν κάτω διειδὴς εἶναι, ϗ ἐκβάλλειν ὕδωρ ἰδεῖν λευκὸν, ϗ γίνεται ποταμὸς τὸ ἐκπί-

greges exſultantes errant; praedicant autem incolae fabulam quandam ſacram, nempe Iunonem, celebratis cum Iove nuptiis, in hac aqua ſe abluiſſe, quod et Syri aiunt, unde locus etiamnum ſuavem odorem ſpiret, qui in vicinum etiam aerem circumquaque diſtribuitur.

C A P. XXXI.

Quod animalium feri maxime et manſueti ſint Lupus et Agnus, juxta teſtimonium oraculi Delphici.

ANIMALIVM vim et naturam noſſe ne dii quidem adſpernantur. Siquidem Euryſthenem et Proclem Ariſtomachi filios, cui pater fuit Cleadas, Hyllus avus, proavus Hercules, audio, cum in matrimonium feminas ducere conſtitutum haberent, profectos ad Delphicum oraculum deum conſuluiſſe, quocum Graecorum Barbarorumve adfinitate devincti pulchre et prudenter nuptiis alligati viderentur: iis deum reſpondiſſe, ut eadem via, qua veniſſent, in Lacedaemoniam reverterentur; ubicunque porro terrarum ſumme ferum animal ferens mitiſſimum eis occurreret, inde ducendas uxores eſſe, ſic enim feliciter ipſis et proſpere proceſſurum eſſe. Cui oraculo obtemperantes, cum in Cleonaeorum regionem veniſſent, ipſis occurrit lupus agnum, quem ex aliquo grege diripuerat, portans; ex eo illi conjecerunt Apollinem de iis animalibus oraculo ſignificationem dediſſe, proinde ipſos Theſandri filii Cleonymi, probi viri, filias uxores duxiſſe. Ergo ſi probe dii tenent, quodnam animal ſit manſuetiſſimum, quodque immanitate efferatiſſimum; neque nobis negligendum naturas eorum noſſe.

C A P.

πλον ὄνομα Βέῤῥας· ἐπᾴδουσί τε τῷ ὀνόματι οἱ ἐπιχώριοι καὶ λόγον ἱερὸν, καὶ ἔστιν ὁ λόγος· ἡ Ἥρα μετὰ τοὺς γάμους τοῦ Διὸς ἐνταῦθα ἀπελούσατο, ὥς φασι καὶ Σύροι, καὶ ἐς νῦν ὁ χῶρος εὐωδίαν ἀναπνεῖ, καὶ πᾶς ὁ ἀὴρ κύκλῳ ταύτῃ κίρναται· καὶ ἐνταῦθα σκιρτῶσιν ἰχθύων πρᾴων ἀγέλαι.

ΚΕΦ. λά.

Ὅτι ἀγριώτατον καὶ πρᾳότατον ζώων Λύκος καὶ Ἀρνὸς, κατὰ τὴν ἐκ Δελφῶν μαρτυρίαν.

ΤΑ δὲ ἴδια τῶν ζώων εἰδέναι οὐδὲ θεοὶ ὑπερορῶσιν. Ἀκούω γοῦν Εὐρυσθένην καὶ Προκλέα τοὺς Ἀριστομάχου, τοῦ Κλεάδα, τοῦ Ὕλλου, τοῦ Ἡρακλέος, παῖδας, βουλομένους ἄγεσθαι γυναῖκας, ἐλθόντας εἰς Δελφοὺς τὸν θεὸν ἐρέσθαι, τίνι ἂν κηδεύσαντες Ἑλλήνων ἢ βαρβάρων, εἶτα μέντοι καλῶς καὶ εὐβούλως γῆμαι δόξαιεν· τὸν δὲ θεὸν αὐτοῖς ἀποκρίνασθαι, ἐπανιέναι μὲν εἰς Λακεδαιμονίαν, ὑποστρέφειν δὲ κατὰ τὴν ὁδὸν ταύτην, καθ᾽ ἣν καὶ ἀφίκοντο· ἐν ᾗ δ᾽ ἂν αὐτοῖς χώρᾳ τὸ ἀγριώτατον ἀπαντήσῃ ζῶον φέρον τὸ πρᾳότατον, ἐντεῦθέν τοι ἁρμόσασθαι γάμους, οὕτως γὰρ αὐτοῖς ἔσεσθαι λῷον. Καὶ οἱ μὲν ἐπείθοντο, οἱ δὲ γίνονται κατὰ τὴν Κλεωναίων χώραν, καὶ ἐντυγχάνει αὐτοῖς λύκος φέρων ἄρνα ἔκ τινος ποιμένος αὐτὸν ἡρπασμένον· συνέβαλον οὖν ἐκεῖνοι λέγειν ταῦτα τὰ ζῶα τὸν χρησμὸν, καὶ ἡρμόσαντο τὰς Θεσάνδρου τοῦ Κλεωνύμου θυγατέρας, δοκίμου ἀνδρός. Εἰ δὲ οἱ θεοὶ ἴσασι τὸ ἡμερώτατον ζῶον, καὶ τὸ ἀγριώτατον· οὐδὲ ἡμῖν ἀμελὲς τὰς φύσεις αὐτῶν εἰδέναι.

CAP. XXXII.
De Serpentibus Indiae.

Res multas et varias producit India: quarum aliae felicem ſane illam, et admirandam eſſe parentem teſtantur; aliae contra neque ulli ſunt expetendae, neque dignae, quae laudentur, vel deſiderentur. Sed de aliis, quae vel uſum aliquem ſui adferunt, vel ad luxum et oſtentationem faciunt, partim jam dixi, partim dicturus ſum poſtea, faventibus diis; in praeſentia de ſerpentibus tantum regionis illius verba facere ſtatui. Has illa multas variaſque educat, quarum ſpecies omnes perſequi velle infinitum foret. Non ſolum autem hominibus, verum etiam aliis animantibus pernicioſa ſunt. Eademque regio herbas defendentes a venenatorum morſuum pernicie producit, ad quarum uſum et ſcientiam tantopere periti ſunt indigenae, ut quodnam medicamentum cuique ſerpentium adverſetur, probe teneant; ſimul et ne acerrima veneni vis celerrime per corpus manet, neve id ipſum conficiat, praeſens ſibi mutuo ferunt auxilium, quod neceſſarium regio ipſa abunde ſubminiſtrat. Iam porro ſerpentem, qui hominem interfecerit, Indi permultis in hanc rem teſtibus Libycis, et Aegyptiis Thebarum incolis, utentes dicunt, idcirco ſubterraneam latebram ingredi nequire, quia terra ſuis ipſa ſedibus eam non amplius recipiat, et quaſi gremio ſuo in exilium ejiciat; atque hinc poſtea errare, vagari, et pluribus jactatam miſeriis, aeſtivo et hiberno ſub dio aerumnoſum omne aetatis tempus degere, neque amplius a conjugibus adiri, neque ab iis, quos ex ſe procreaverit, parentem agnoſci. Poena igitur homicidii ipſis rationis expertibus a natura inflicta eſt, dei providentia, prout ipſe commemoravi; dictum eſt vero, ut inde diſcat prudens.

CAP.

ΚΕΦ. λβ΄.

Περὶ τῶν ἐν Ἰνδοῖς Ὄφεων.

ΙΝδῶν γῆ φέρει μὲν πολλὰ ϗ ποικίλα· ϗ τὰ μὲν εὐδαίμονός ἐςι ϗ θαυμαςῆς μαρτύρια φορᾶς· τὰ δὲ οὐκ ἀξιόζηλα αὐτῆς, οὐδὲ οἷα ἐπαινεῖν ἢ ποθεῖν ἄξια. Καὶ ὑπὲρ μὲν τῶν λυσιτελῶν, ἢ ἁβρῶν τε, ϗ πολυτελῶν, τὰ μὲν εἶπον, τὰ δὲ εἰρήσεται σὺν τοῖς θεοῖς· τὸ δὲ νῦν ἔχον ὅπως ὠδῖνα ὄφεων ἡ γῆ ἀποδείκνυται, εἰπεῖν ὥρμημαι. Πολλοὺς τίκτει ϗ διαφόρους, ϗ τὸ λειφθὲν τοῖς ἀπείροις ἄπειρον. Οὗτοι οὖν ἄρα οἱ ὄφεις ϗ ἀνθρώπους, ϗ τὰ ἄλλα ζῶα ἀδικοῦσι. Τίκτει δὲ ἡ αὐτὴ γῆ ϗ πόας τῶν δηγμάτων ἀμυντηρίους, ἔχουσί τε αὐτῶν τὴν ἐμπειρίαν τε ϗ σοφίαν οἱ ἐπιχώριοι, ϗ ποῖον φάρμακον ὄφεως τίνος ἀντίπαλόν ἐςι κατεγνώκασι· ϗ ἀμύνουσιν, ὡς ὅτι τάχιςα, ἀλλήλοις ἐπιτεμέσθαι πειρώμενοι τὴν τοῦ ἰοῦ κατὰ τοῦ σώματος ἐπινομὴν ὀξυτάτην τε οὖσαν ϗ ὠκίςην, ϗ ταῦτα μὲν αὐτοῖς εἰς ἐπικουρίαν τὴν ἀναγκαίαν ϗ μάλα εὐπόρως ἀνίησιν ἡ χώρα ϗ ἀφθόνως. Ὄφις δὲ, ὃς ἂν ἀποκτείνῃ ἄνθρωπον, ὡς Ἰνδοὶ λέγουσι, ϗ μάρτυρας ἐπάγουσι Λιβύων πολλοὺς, ϗ τοὺς περὶ Θήβας οἰκοῦντας Αἰγυπτίους, οὐκ ἔτι καταδῦναι ϗ εἰσερπύσαι εἰς τὴν ἑαυτοῦ οἰκίαν ἔχει, τῆς γῆς αὐτὸν μὴ δεχομένης, ἀλλ' ἐκβαλλούσης τῶν οἰκείων, ὡς ἂν εἴποις, φυγάδα κολπῶν· ἀλήτης δ' ἐντεῦθεν ϗ πλάνης περιέρχεται, ϗ ταλαιπωρεῖται ὑπαίθριος, ϗ διὰ τοῦ θέρους, ϗ διὰ τοῦ χειμῶνος, ϗ οὔτε ἔτι σύννομος αὐτῷ πρόσεισιν, οὔτε οἱ ἐξ αὐτοῦ γεινόμενοι γνωρίζουσι πατέρα. Τιμωρία μὲν δὴ ϗ τοῖς ἀλόγοις ἐπ' ἀνδροφονίᾳ παρὰ τῆς φύσεως τοιάδε ἐλέχθη, προνοίᾳ τοῦ θείου, κατά γε τὴν μνείαν τὴν ἐμήν· εἴρηται δὲ εἰς παίδευσιν τῷ συνιέντι.

ΚΕΦ.

CAP. XXXIII.

De Canum et Anserum custodia in Capitolio.

ANSERES ad custodiam praeferendi sunt canibus, quod Romanorum periclitatione constat; quo tempore acerrime a Gallis impugnati sunt, qui eis repulsis jam in urbem invaserant, jamque universam occupabant, Capitolio tantum excepto, quod superare non facile poterant. Hujus igitur loca, quae insidiantes admissura et minus tuta videbantur, custodibus committebant. Consulatum gerebat tum temporis M. Manlius consul, et commissum sibi Capitolium custodiebat. Hic est, qui filium propter fortitudinem et rem bene gestam coronavit; sed, quod extra ordinis sui locum progressus esset, morte affecit. Postquam vero Galli collem sibi undequaque inaccessum animadverterunt, intempesta nocte per insidias adoriri somno profundiore detentos statuerunt; conscensuros autem se sperabant per illam partem, quae tanquam natura satis munita custodibus erat vacua, quod inde insidiaturos Gallos Romani minime credidissent. Atqui ex eo etiam loco collis cum Iovis aede turpiter occupatus fuisset, nisi forte adfuissent anseres; canes enim ad cibum eis objectum silebant, anserum vero proprium est, ad esculenta, quae eis objiciuntur, non quiescere, sed exclamare; suo igitur clangore Manlium et custodes excitarunt. Quamobrem nunc etiam canes apud Romanos poenas luunt quotannis, ad veteris perfidiae memoriam; anseri vero certis diebus suus decernitur honor, et magna cum pompa in foro incedit.

CAP.

ΚΕΦ. λγ'.

Περὶ τῆς τῶν Κυνῶν ϗ Χηνῶν φρȣρᾶς τῆς ἐν τῷ Καπετωλίῳ.

ΦΥλάττειν δὲ ἄρα χηνῶν κύνες ἀχρειότεροι, ϗ τȣ̃το κατεφώρασαν Ῥωμαῖοι· ἐπολέμȣν γȣ̃ν αὐτοῖς οἱ Κελτοὶ, ϗ πάνυ καρτερῶς, ϗ ὠσάμενοί γε αὐτȣ̀ς ἐν αὐτῇ τῇ πόλει ἦσαν, ϗ ᾕρητό γε ὑπ' αὐτῶν ἡ Ῥώμη πλὴν τȣ̃ λόφȣ τȣ̃ Καπετωλίȣ, ἦν γὰρ αὐτοῖς ȣ̓κ ἐπιβατὸς ἐκ τȣ̃ ῥάςȣ. Τὰ μὲν ȣ̃ν δοκȣ̃ντα δέξασθαι οἷά τε χωρία τȣ̀ς ἐπιόντας, σὺν ἐπιβȣλαῖς πέφρακτο μέν τισι ταῦτα. Ἦν δὲ ὁ χρόνος, καθ' ὃν Μάρκος Μάλλιος ὑπατεύων τὸν λόφον τὸν προειρημένον ἐγχειρισθέντά οἱ διεφύλαττεν. Οὗτός τοι ϗ τὸν υἱὸν ἀριςεύσαντα μὲν ἀνέδησε ςεφάνῳ· ὅτι δὲ ἐκ τῆς αὐτȣ̃ μετῆλθε τάξεως, ἀπέκτεινεν. Ἐπεὶ δὲ οἱ Κελτοὶ πανταχόθεν ἄβατα ἐθεώρȣν εἶναί σφισι, τῆς νυκτὸς τὸ ἀόρατον ἔκριναν ἐλλοχήσαντες, εἶτα ἐπιθέσθαι καθεύδȣσι βαθύτατα· ἔσεσθαι δὲ ἐπιβατὰ ἑαυτοῖς ἤλπισαν, κατά γε τὸ ἀφύλακτον, ϗ ἔνθα ἠρεμία ἦν, τῶν Ῥωμαίων πεπιςευκότων μὴ ἂν ἐντεῦθεν ἐπιθήσεσθαι τȣ̀ς Γαλάτας. Καὶ μέντοι ϗ ἐκ τȣ́των ἀκλεέςατα ἐλήφθη ἂν ϗ αὐτὸς ϗ ἡ ἄκρα τȣ̃ Διὸς, εἰ μὴ χῆνες παρόντες ἔτυχον· οἱ μὲν γὰρ κύνες πρὸς τὴν ῥιφθεῖσαν τροφὴν κατεσιώπησαν· ἴδιον δὲ ἄρα χηνῶν πρὸς τὰ ῥιπτέμενα εἰς ἐδωδήν σφισι βοᾶν, ϗ μὴ ἀτρεμεῖν· ȣ̓κȣ̃ν ἀνέςησάν τε τὸν Μάλλιόν ἀνακλάγξαντες, ϗ τὴν περικειμένην φυλακήν. Ταῦτά τοι τίνȣσι δίκας οἱ κύνες παρὰ Ῥωμαίοις ϗ νῦν ἀνὰ πᾶν ἔτος, προδοσίας ἀρχαίας μνήμῃ· τιμᾶται δὲ χὴν ταῖς τεταγμέναις ἡμέραις, ϗ ἐν φορείῳ πρόεισιν εὖ μάλα πομπικῶς.

CAP. XXXIV.

De Animalibus, quibus diverſae nationes vario modo utuntur.

HAEC etiam non a cognitione ſcientiaque animalium abhorrent. Scythae ligni inopia, quae diis immolant, eorum oſſibus ſuccenſis coquunt. Apud Phryges, ſi quis aratorem bovem occiderit, morte mulctatur. Sagarenſes quotannis ſumma adverſus Minervam obſervantia ei celebrant camelorum certamen, ad curſum enim aptiſſimi et velociſſimi apud eos procreantur. Saracori aſinis neque ad ferenda onera utuntur, neque ad molas, ſed bellatores habent; et quemadmodum equis Graeci inſidentes, ſic aſinis hi bellica pericula ſuſtinent. Quod ſi quis aſinorum apud eos corpulentior eſſe videatur, illum Marti ſacrificant. Clearchus Peripateticus dicit ſolos de Peloponnenſibus Argivos ſerpentem non interimere; et ſi canis in forum ingrediatur certis quibuſdam diebus, quos illi ſacros agunt, et Arneidas vocant, eum interficere. In Theſſalia vero is, qui uxorem ducturus eſt, pro nuptiis ſacrificans, equum bellatorem inducit frenatum, et omnibus armis inſtructum; deinde poſtquam ſacrificium peractum ſit, et pactum cum virgine fecerit, equum uxori habenis ducendum tradit. Iam porro id quam ſignificationem habeat, Theſſalis explicandum relinquo. Tenedii olim praeſtantiſſimam gravidam vaccam Baccho alebant, et, cum peperit, tanquam ſane puerperae inſerviunt; vitulum autem recentem natum cothurnis induti immolant; ſed qui eum ſecuri percuſſit, dicis gratia lapidibus petitur, atque in mare fugit. Eretrienſes Embointho Dianae pecudes mutilas immolant.

ΚΕΦ. λδʹ.

Περὶ Ζώων τῶν παρὰ διαφόροις ἔθνεσι διαφόρῳ μετερχομένων ἔθει.

ΚΑΙ ταῦτα μὲν ὑπὲρ ζώων εἰπεῖν οὐκ ἔστιν ἀπὸ μέσης. Σκύθαι ξύλων ἀπορίᾳ, ἅτινα ἂν καταθύσωσι, τοῖς αὐτῶν ὀστέοις ἕψουσι. Φρύγες δὲ ἐὰν παρ' αὐτοῖς τις ἀροτῆρα ἀποκτείνῃ βοῦν, ἡ ζημία θάνατος αὐτῷ. Σαγαραῖοι δὲ τῇ Ἀθηνᾷ καμήλων ἀγῶνα ὅσα ἔτη σὺν αἰδοῖ τῇ τῆς θεοῦ ἐπιτελοῦσι, γίνονται δὲ ἄρα παρ' αὐτοῖς αὗται δρομικώταταί τε ἅμα καὶ ὤκισται. Σαρακόροι δὲ οὔτε ἀχθοφόρους οὔτε ἀλοῦντας ἔχουσι τοὺς ὄνους, ἀλλὰ πολεμιστάς· καὶ ἐπ' αὐτῶν γε τοὺς ἐνοπλίους κινδύνους ὑπομένουσιν, ὥσπερ οὖν οἱ Ἕλληνες ἐπὶ τῶν ἵππων. Ὅστις δ' ἄρα παρ' αὐτοῖς ὄνων ὀγκωδέστερος εἶναι δοκεῖ, τοῦτον τῷ Ἄρει προσάγουσιν ἱερόν. Λέγει δὲ Κλέαρχος, ὁ ἐκ τοῦ περιπάτου, μόνους Πελοποννησίων Ἀργείους ὄφιν μὴ ἀποκτείνειν· ἐν δὲ ταῖς ἡμέραις, ἃς καλοῦσιν Ἀρνηΐδας οἱ αὐτοί, ἐὰν κύων εἰς τὴν ἀγορὰν παραβάλῃ, ἀναιροῦσιν αὐτόν. Ἐν Θετταλίᾳ δὲ ὁ μέλλων γαμεῖν, θύων τὰ γαμοδέσια, ἵππον εἰσάγει πολεμιστὴν τὸν χαλινὸν περικείμενον, καὶ τὴν ἐνόπλιον σκευήν, καὶ ἐκείνην πᾶσαν· εἶτα ὅταν ἀπὸ τῆς ἱερουργίας γένηται, καὶ σπείσῃ τῇ νύμφῃ, τὸν ἵππον ἀπὸ τοῦ ῥυτῆρος ἀγαγὼν παραδίδωσι. Τί δὲ νοεῖ τοῦτο, Θετταλοὶ λεγέτωσαν. Τενέδιοι δὲ τῷ πάλαι ἂν ἀρίστην Διονύσῳ ἔτρεφον κύουσαν βοῦν, τεκοῦσαν δὲ ἄρα αὐτὴν οἱαδήπου λεχὼ θεραπεύουσι· τὸ δὲ ἀρτιγενὲς βρέφος καταθύουσιν, ὑποδήσαντες κοθόρνους· ὅγε μὴν πατάξας αὐτὸ τῷ πελέκει λίθοις βάλλεται τῇ ὁσίᾳ, καὶ ἔστε ἐπὶ τὴν θάλατταν φεύγει. Ἐρετριεῖς δὲ τῇ Ἐμβοΐνθῳ Ἀρτέμιδι κολοβὰ θύουσι.

CAP. XXXV.

Alii Canes dominorum amantes.

PRAETER ea, quae ſupra dixi, Xanthippi, cui pater fuit Ariphrus, canes domini perſtudioſos fuiſſe audio. Eo enim tempore, cum ingenti bello Perſarum in Graeciam exardeſcente, Athenienſes oraculi juſſu, relicta patria, in claſſem demigrarunt; tum hujuſce, quem modo nominavi, canes una cum domino tranſmittente ipſi ex Attica in Salamina natando trajecerunt. Haec referunt Ariſtoteles et Philochorus.

CAP. XXXVI.

De aqua in Crathide fluvio, et quemadmodum ejus potu Pecora albeſcant; item de Bubus in Euboea.

CONFLVENTEM candidi coloris efficientem Crathis fluvius emittit. Nam ovillum et bubulum pecus, et omnis grex quadrupes, ſicut Theophraſtus ait, ex eo bibens de nigro rufove albus fit. Boves quoque in Euboea fere omnes albi naſcuntur, quare et ἀργιβόειον [albis bobus gaudentem] poetae Euboeam cognominant.

CAP. XXXVII.

De Gallo, qui vini miniſtrum amavit; itemque de Graculo et Apibus.

PHILO dicit eum, qui Nicomedi Bithyniae regi pocula adminiſtraret, a gallinaceo, Centauro nomine, adamatum fuiſſe. Tum graculo formoſus puer in amore fuit; tum etiam apes amatorio adfectu flagrare audio, quamvis earum plurimae a libidine ſint alienae.

CAP.

ΚΕΦ. λέ.

Κύνες ἕτεροι φιλοδέσποτοι.

Πέπυσμαι δὲ πρὸς τοῖς ἤδη μοι προειρημένοις κύνας γενέσθαι φιλοδεσπότες, ὡς Ξανθίππε τε Ἀρίφρε. Μετοικιζομένων γὰρ τῶν Ἀθηναίων ἐς τὰς ναῦς, ἡνίκα τε χρόνε ὁ Πέρσης τὸν μέγαν πόλεμον ἐπὶ τὴν Ἑλλάδα ἐξῆψε, κὴ ἔλεγον οἱ χρησμοὶ λῷον εἶναι τοῖς Ἀθηναίοις τὴν μὲν πατρίδα ἀπολιπεῖν, ἐπιβῆναι δὲ τῶν τριήρων· ἐδὲ οἱ κύνες τε προειρημένε ὑπελείφθησαν, ἀλλὰ συμμετῴκισαν τῷ Ξανθίππῳ, κὴ διανηξάμενοι ἐς τὴν Σαλαμῖνα ἀπέβησαν. Λέγετον δὲ ἄρα ταῦτα Ἀριστοτέλης κὴ Φιλόχορος.

ΚΕΦ λϛ΄.

Περὶ τε ὕδατος τε ἐν τῷ Κράθει, κὴ ὡς λευκαίνει τὰ Θρέμματα· κὴ περὶ τῶν Βοῶν τῶν ἐν Εὐβοίᾳ.

Τὸ ὕδωρ ὁ Κρᾶθις λευκῆς χρόας ποιητικὸν μεθίησι ποταμὸς ὤν. Τὰ γεν πρόβατα πιόντα αὐτε, κὴ οἱ βόες, κὴ πᾶσα ἡ τετράπες ἀγέλη, καθά φησι Θεόφραστος, λευκὰ ἐκ μελάνων ἐγένετο ἢ πυῤῥῶν. Καὶ ἐν Εὐβοίᾳ δὲ οἱ βόες λευκοὶ τίκτονται σχεδὸν πάντες, ἔνθεν κὴ ἀργιβόειον ἐκάλεν οἱ ποιηταὶ τὴν Εὔβοιαν.

ΚΕΦ. λζ΄.

Περὶ Ἀλεκτρυόνος, ὃς ἠράσθη τε οἰνοχόε· κὴ περὶ Κολοιε τε κὴ Μελισσῶν.

Οἰνοχόε βασιλικε, κὴ ἦν ὁ βασιλεὺς Νικομήδης ὁ Βιθυνῶν, ἀλεκτρυὼν ἠράσθη, Κένταυρος ὄνομα· κὴ λέγει Φίλων τετο. Ἠράσθη δὲ ἄρα κὴ κολοιὸς ὡραίε παιδός· κὴ μελίττας δέ τινας ἐρωτικὰς εἶναι πέπυσμαι, εἰ κὴ αἱ πλείες σωφρονεσι.

ΚΕΦ.

CAP. XXXVIII.
De Sphinge et Sue alato.

SPHINGEM, quicunque vel picturae vel plasticae operam dant, fingere alatam solent. Ceterum apud Clazomenios suem alatum exortum fuisse audio, qui Clazomenios agros vastaret; quod quidem ipsum in libro De Clazomeniorum finibus Artemon confirmavit, unde illic locus decantatus *Sus alatus* nominatur. Id quod si cuipiam fabula videatur, non prohibeo; ego, quod de animali dictum ab aliis non ignorabam, non invitus retuli.

CAP. XXXIX.
De Dracone et Ophiogenis.

HALIAE Sybaridis filiae, cum in Phrygia lucum Dianae ingressa esset, draco quidam sacer conspectu praegrandis apparuit, et cum ea coivit; unde Ophiogenae dicti primam sui generis originem trahunt.

CAP. XL.
Quaenam Animalia a quibus cultu vel honore afficiantur.

LVPVM Delphi colunt, Samii ovem venerantur, leaenam Ampraciotae; causas autem, quamobrem hujusmodi bestias divini cultus honore prosequantur, non alienum est explicare. Delphis aurum sacrum furto direptum, et in Parnasso defossum, sicut dicit Polemon, investigavit lupus; Samiis item aurum furto sublatum ovis invenit; quare Mandrabolus Samius Iunoni ovem consecravit, ut Aristoteles tradit. Ampraciotae leaenam, quod tyrannum ipsorum Phaylum dilacerasset, idcirco ut suae libertatis vindicem

ΚΕΦ. λή.

Περὶ Σφιγγὸς καὶ τῆς πλερωτῆς Ὑός.

ΤΗΝ σφίγγα ὑπόπλερον γράφουσί τε καὶ πλάττουσι πᾶν ὅσον περὶ χειρουργίας σπουδαῖον καὶ πεπονημένον. Ἀκούω δὲ ἐν Κλαζομενίοις σῦν γενέσθαι πτηνὸν, ὅπερ οὖν ἐλυμαίνετο τὴν χώραν τοῖς Κλαζομενίοις· καὶ λέγει τοῦτο Ἀρτέμων ἐν τοῖς Ὅροις τοῖς Κλαζομενίων, ἔνθεν τοι καὶ χῶρος ἐκεῖ κέκληται, ὑὸς πτερωτῆς ὀνομαζόμενός τε καὶ ᾀδόμενος. Τοῦτο δὲ εἴ τῳ δοκεῖ μῦθος εἶναι, δοκείτω· ἐμὲ δ' οὖν περὶ ζώου λεχθὲν, καὶ μὴ λαθὸν, οὐκ ἐλύπησεν εἰρημένον.

ΚΕΦ. λθ'.

Περὶ Δράκοντος καὶ τῶν καλουμένων Ὀφιογενῶν.

ΑΛίᾳ τῇ Συβάρεως περιϊούσης εἰς ἄλσος Ἀρτέμιδος, ἦν δὲ ἐν Φρυγίᾳ τὸ ἄλσος, δράκων ἐπεφάνη θεῖος, μέγιστος τὴν ὄψιν, καὶ ὡμίλησεν αὐτῇ· καὶ ἐντεῦθεν οἱ καλούμενοι Ὀφιογενεῖς τῆς σπορᾶς τῆς πρώτης ὑπῆρξαν.

ΚΕΦ. μ'.

Τίνα παρὰ τίσι τιμᾶται Ζῶα.

ΤΙμῶσι δὲ ἄρα Δελφοὶ μὲν λύκον, Σάμιοι δὲ πρόβατον, Ἀμπρακιῶταί γε μὴν τὸ ζῶον τὴν λέαιναν· τὰ δὲ αἴτια τῆς ἑκάστου τιμῆς εἰπεῖν οὐκ ἔστιν ἔξω τῆσδε τῆς σπουδῆς. Δελφοῖς μὲν χρυσίον ἱερὸν σεσυλημένον, καὶ ἐν τῷ Παρνασσῷ κατορωρυγμένον, ἀνίχνευσεν ὁ λύκος· Σαμίοις δὲ καὶ αὐτοῖς τοιοῦτο χρυσίον κλαπὲν πρόβατον ἀνεῦρε, καὶ ἐντεῦθεν Μανδράβολος ὁ Σάμιος τῇ Ἥρᾳ πρόβατον ἀνάθημα ἀνῆψε· καὶ τὸ μὲν Πολέμων λέγει τὸ πρότερον, τὸ δὲ Ἀριστοτέλης τὸ δεύτερον. Ἀμπρακιῶται δὲ, ἐπεὶ τὸν τύραννον αὐτῶν Φαΰλον διεσπά-

vindicem ſumma religione colunt. Miltiades tres equas, Olympiae victrices, ſepulturae honore in Ceramico affecit. Evagoras Lacon itidem Olympionicas equos ad ſepulturam magnifice dedit.

C A P. XLI.

De Cetis, Teſtudinibus, et Crocodilis in Gange.

GANGES Indiae fluvius, initium ducens a fontibus, cum per ſe fluit, et nondum ad alios admiſtus eſt, altitudine eſt viginti paſſuum, latitudine vero octoginta ſtadiorum; cum vero jam alii in eum influxerint, altus ſexagenos paſſus profluit, dilatatur autem et diffunditur in quadringenta ſtadia. Inſulas Leſbo Cyrnove majores efficit; et cete procreat, quorum adeps unguentorum uſum praeſtat. In eo etiam teſtudines naſcuntur, quarum teſta non minori magnitudine ſit, quam dolium capax viginti amphorarum. Idem crocodilorum genera duo educat; quorum alteri nihil nocent, alteri inexorabili atque immiſericordi in quidlibet voragine carnivori ſunt; in eorum ſummo roſtro quiddam, ſimiliter ut in ceraſtis [ſerpentibus] eminet. His adminiſtris ad maleficos puniendos Indi utuntur; nam eoſdem criminum graviſſimorum damnatos illis objiciunt, neque carnifice egent.

C A P. XLII.

Quibus eſcis quidam marini Piſces capiantur.

PISCATIONIS marinae periti, ut auctor eſt Leonides, ſcaris eſcam demittunt coriandrum et carton, ſic enim facile et nullo negotio capiuntur; ſcarus enim his condimentis, ceu praeſtigiis quibuſdam, allicitur. At betarum foliis mulli capiuntur; nam hoc olere gaudet hic piſcis, eoque facile ineſcatus capitur.

C A P.

διεσπάσατο λέαινα, τιμῶσι τὸ ζῶον αἴτιον αὐτοῖς ἐλευθερίας γεγενημένον. Μιλτιάδης δὲ τὰς ἵππους τὰς τρεῖς Ὀλύμπια ἀνελομένας ἔθαψεν ἐν Κεραμεικῷ. Καὶ Εὐαγόρας δὲ ὁ Λάκων καὶ ἐκεῖνος Ὀλυμπιονίκεις ἵππους ἔθαψε μεγαλοπρεπῶς.

ΚΕΦ. μα΄.

Περὶ τῶν ἐν Γάγγῃ Κητῶν, Χελωνῶν τε, καὶ Κροκοδείλων.

Ὁ Γάγγης ὁ παρὰ τοῖς Ἰνδοῖς ῥέων, ὑπαρχόμενος μὲν ἐκ τῶν πηγῶν βαθύς ἐστι εἰς ὀργυιὰς εἴκοσι, πλατὺς δὲ εἰς ὀγδοήκοντα σταδίους, ἔτι γὰρ αὐθιγενεῖ τῷ ὕδατι πρόεισι, καὶ ἀμιγεῖ πρὸς ἕτερον· προϊὼν δὲ, τῶν ἄλλων εἰς αὐτὸν ἐμπιπτόντων καὶ ἀνακοινουμένων οἱ τὸ ὕδωρ, εἰς βάθος μὲν ἥκει καὶ ἑξήκοντα ὀργυιῶν, πλατύνεται δὲ καὶ ὑπερεκχεῖται εἰς σταδίους τετρακοσίους. Καὶ ἔχει νήσους Λέσβου τε καὶ Κύρνου μείζονας· καὶ τρέφει κήτη, καὶ ἐκ τῆς τούτων πιμελῆς ἄλιφα ἐργάζονται. Εἰσὶ δὲ ἐν αὐτῷ καὶ χελῶναι, καὶ αὐταῖς τὸ χελώνειον πιθάκνης καὶ εἴκοσιν ἀμφορέας δεχομένης οὐ μεῖόν ἐστι. Κροκοδείλων δὲ παιδεύει διπλᾶ γένη· καὶ τὰ μὲν αὐτῶν ἥκιστα βλάπτει, τὰ δὲ παμβορώτατα σαρκῶν ἐσθίει καὶ ἀφειδέστατα· καὶ ἔχουσιν ἐπ᾽ ἄκρου τοῦ ῥύγχους ἐξοχὴν, ὡς κεράστου. Τούτοις καὶ πρὸς τὰς τῶν κακούργων τιμωρίας ὑπηρέταις χρῶνται· τοὺς γὰρ ἐν τοῖς μεγίστοις τῶν ἀδικημάτων ἑαλωκότας ῥίπτουσιν αὐτοῖς, καὶ δημίου δέονται ἥκιστα.

ΚΕΦ. μβ΄.

Τίνα τίσιν ἁλίσκεται τῶν Θαλαττίων.

Δέλεαρ καθιᾶσιν οἱ σοφοὶ τὰ θαλάττια τοῖς μὲν σκάροις, ὡς Λεωνίδης φησὶ, κορίαννα καὶ κάρτα, καὶ ἔστιν εὐθήρατα ταῦτα καὶ ἑλεῖν ῥᾶστα· προσνεῖ γὰρ αὐτοῖς ὁ σκάρος γοητευόμενος, ὥσπερ ἡδύσμασι. Φύλλα δὲ τευτλίων αἱρεῖ τὰς τρίγλας, χαίρει γὰρ τῷδε τῷ λαχάνῳ τὸ ζῶον, καὶ δι᾽ αὐτοῦ ἁλίσκεταί τε καὶ δουλοῦται ἕκαστα.

CAP. XLIII.

Piſcationis modi diverſi.

PISCATIONIS modi quatuor traduntur; fit enim vel reti, vel conto, vel naſſa, vel hamo. Ea, quae retibus utitur, praecipue ditare piſcatores poteſt propter copioſam capturam, qua piſces pariter plurimi, ut occupatis hoſtium caſtris captivi, in eorum poteſtatem veniunt. Supellectilem vero requirit variam; ut ſunt funes, fila alba et nigra, cyperus, ſuber, plumbum, picea, lora, rhus, lapis, byblus ſive papyrus, cornua, navis ſex remorum, axis, ſcytalides [ſive bacilli teretes,] cottana, tympanum, ferrum, ligna, pix. Incidunt autem in ea diverſa genera piſcium, et varii multique eorum greges. Quae vero per contum piſcatio fit, inter ceteras ſtrenuiſſima eſt, et piſcatore opus habet robuſtiſſimo. Ad eam requiruntur pertica recta oleagina, et funes e ſparto contexti, et taedae vel faces de pinu perquam reſinoſa, item navis parva, et remiges aſſidui validique brachiis. At naſſarum uſus, prae ceteris inſidioſus atque doloſus, ingenuos homines minime decere videtur. Adhibentur holoſchoeni juncorum generis non madidi, vimen, lapis qui facile manibus tractetur, alga marina, funes, coma cupreſſi, ſuber, ligna, eſca, et navis parva. Porro ea, quae hamis fit piſcatio, ut callidiſſima eſt, ita liberis hominibus inprimis decora. Opus autem habet pilis equinis, albis, nigris, ruffis, et ad canum colorem vergentibus, ceteris qui tinguntur inſerunt albos vel purpureos, reliquos omnes improbant; aprorum etiam ſetis rigidis utuntur; et linis ſeu filis, et aere multo, plumboque, et e ſparto funiculis, et pennis, praecipue albis aut nigris et variis. Sunt ex piſcatoribus, qui etiam lanis utantur puniceis vel purpureis, et ſuberibus, et lignis; ferroque, et aliis rebus indigeant, et inter illas arundinibus rectis proceriſque, nec

ΚΕΦ. μγ΄.

Ἐνύδρου Θήρας διαφοραί.

ΕΝύδρου δὲ θήρας διαφοραὶ δ΄, φασί· δικτυΐα, κόντωσις, ϗ κυρτία, ϗ ἀγκιστρία προσέτι. Καὶ ἡ μὲν δικτυΐα πλουτοφόρος, ϗ ἔοικεν ἁλισκομένῳ στρατοπέδῳ, ϗ αἱρουμένοις αἰχμαλώτοις τισί. Καὶ δεῖται χορηγίας ποικίλης· οἷον σπάρτου, ϗ λίνου λευκοῦ, ϗ μέλανος ἄλλου, ϗ κυπέρου, ϗ φελλῶν, μολίβδου τε, ϗ πίτυος, ϗ ἱμάντων, ϗ ῥοῦ, ϗ λίθου, ϗ βύβλου, ϗ κεράτων, ϗ νεὼς ἐξήρους, ἄξονός τε, ϗ σκυταλίδων, ϗ κοττάνης, ϗ τυμπάνου, ϗ σιδήρου, ϗ ξύλων, ϗ πίττης. Ἐμπίπλει δὲ γένη τε ἰχθύων διάφορα, καὶ ἀγέλαι ποικίλαι τε ϗ πολλαί. Ἡ δὲ διακόντωσίς ἐστι μὲν τῶν ἄλλων ἀνδρειοτάτη, ϗ δεῖται θηρατοῦ ῥωμαλεωτάτου. Παρεῖναι δὲ δεῖ κάμακα ὀρθὴν ἐλαίαν, ϗ σχοινία σπάρτινα, πυρία τε πεύκης τῆς λιπαρωτάτης, νεὼς μικρᾶς, ἐρετῶν συντόνων ϗ βραχίονας ἀγαθῶν. Ἡ δὲ κυρτία δολερωτάτη θήρα ϗ ἐπιβουλοτάτη δεινῶς ἐστι, ϗ ἐλευθέροις πρέπειν δοκεῖ ἥκιστα. Δεῖται δὲ ὁλοσχοίνων τε ἀβρόχων, ϗ λύγου, ϗ χερμάδος, ϗ ἄνεων, ϗ λίθου, ϗ φύκους θαλασσίου, σχοίνων τε, ϗ κυπαρίττου κόμης, ϗ φελλῶν, ϗ ξύλων, ϗ δελέατος, ϗ νεὼς μικρᾶς. Ἡ δὲ ἀγκιστρία σοφωτάτη ἐστὶ, ϗ τοῖς ἐλευθέροις πρεπωδεστάτη. Δεῖται γὰρ ἱππείων τριχῶν, τὰς χρόας ϗ λευκὰς, ϗ μελαίνας, ϗ πυῤῥὰς, ϗ μεσαιπολίους, τῶν δὲ βαπτομένων ἐγκρίνουσι τὰς λευκὰς, ἢ τὰς ἁλιπορφύρους, αἱ γὰρ ἄλλαι πᾶσαι πονηραί, φασί· χρῶνται δὲ ϗ τῶν ἀγρίων συῶν ταῖς θριξὶ ταῖς ὀρθαῖς, ϗ περίνθῳ δὲ, ϗ χαλκῷ πλείστῳ, ϗ μολίβδῳ, ϗ σπαρτίναις, ϗ πτεροῖς, μάλιστα μὲν λευκοῖς ἢ μέλασι ϗ ποικίλοις. Χρῶνται γε μὴν οἱ ἁλιεῖς ϗ φοινικοῖς ἐρίοις ϗ ἁλουργέσι, ϗ φελλοῖς, ϗ ξύλοις· ϗ σιδήρου, ϗ ἄλλων δέονται, ἐν δὲ τοῖς ϗ καλάμων εὐφυῶν, ϗ ἀβρόχων, ϗ ὁλο-

nec madidis, holoſchoenis vero madefactis, et ferula raſa, et virga de corno arbore, et caprae cornibus, et corio. Alii enim piſces aliis iſtorum capiuntur, ut jam ſupra explicatum eſt.

C A P. XLIV.

De Indicis Elephantis et Equis Libycis.

DVAE hae narrationes, quarum una Indica eſt, altera Libyca, generatim utique inter ſe differunt; illa autem, quae regioni ſuae peculiaria eſſe utraque perhibet, haec ſunt. Si Indicus elephantus robore aetatis confirmatus capiatur, ex feritate aegre traducitur ad manſuetudinem, et quod deſiderio libertatis teneatur, ideo caedes molitur; ac ſi vinculis devinciatur et conſtringatur, magis incitatur animo, neque ullam ſervitutem perpetitur. At enim Indi variis et multiplicibus cibariorum illecebris ventrem implere, eumque delinire ſtudent; ille tamen nihil de acerbitate ſua remittens, nihilque ab iis blanditiis miteſcens, iis praeclare contemptis, pergit iiſdem infeſtus eſſe. Quid igitur ii comminiſcuntur, et machinantur? Inſtrumento quodam muſico, quod ſcindapſum vocant, vernaculam cantiunculam ei canunt; is animum attendit, auremque ad audiendum erigit, et ſuavitate illius demulcetur, animi incitatio comprimitur, ac paulatim in objectum cibum reſpicit; et quamvis omnibus vinculis exſolvitur, tamen cantu devinctus non amplius ad priſtinos mores a manſuetudine deficit, et cibo libenter veluti conviva fruitur. Tibiae cantu (nam et alteram narrationem audire oportet) uſque eo capiuntur Libycae equae, ut hujus blandimentis ad homines manſueſcant ac mitigentur, et inſultare ac laedere deſinant; et quocunque eas cantiuncularum blanditiae invitaverint, eo paſtorem conſequuntur; cum ille inſiſtit, hae etiam a progrediendo ſe ſuſtinent; ac ſi cantum contentiorem ad tibiam canat, ex eo tanta voluptate adficiuntur, ut lachrymas tenere non poſſint. Harum igitur paſtores ex rododaphnes arboris ramo excavato paſtoritiam fiſtulam conficiunt,

cujus

σχοίνων βεβρεγμένων, ϗ νάρθηκος ἐξεσμένου, ϗ ῥάβδου κρανείας, ϗ χιμαίρας κεράτων, ϗ δέρματος. Ἄλλος δὲ ἄλλῳ τούτων ἰχθῦς αἱρεῖται, ϗ τάς γε θήρας ἤδη εἶπον αὐτῶν.

ΚΕΦ. μδʹ.

Περὶ τῶν ἐν Ἰνδοῖς Ἐλεφάντων, ϗ τῶν ἐν Λιβύῃ Ἵππων.

Λόγω δὲ ἄρα τώδε Ἰνδὸς ϗ Λίβυς τὸ γένος διαφόρω· ἐρεῖ δὲ ὁ μὲν Ἰνδὸς τὰ ἐπιχώρια, ὁ δὲ Λίβυς ὅσα οἶδε ϗ ἐκεῖνος· ἃ δὲ οὖν ᾄδετον ἄμφω τὼ λόγω ἐστὶν ἐκεῖνα. Ἐν Ἰνδοῖς ἂν ἁλῷ τέλειος ἐλέφας, ἡμερωθῆναι χαλεπός ἐστι, ϗ τὴν ἐλευθερίαν ποθῶν φονᾷ· ἐὰν δὲ αὐτὸν ϗ δεσμοῖς διαλάβοις, ἔτι ϗ μᾶλλον ἐς τὸν θυμὸν ἐξάπτεται, ϗ δεσπότην οὐχ ὑπομένει. Ἀλλ᾽ οἱ Ἰνδοὶ ϗ ταῖς τροφαῖς κολακεύουσιν αὐτὸν, ϗ ποικίλοις ϗ ἐφολκοῖς δελέασι πραΰνειν πειρῶνται, παρατιθέντες ὡς πληροῦν τὴν γαστέρα, ϗ θέλγειν τὸν θυμόν· ὁ δὲ ἄχθεται αὐτοῖς, ϗ ὑπερορᾷ. Τί οὖν ἐκεῖνοι κατασοφίζονται, ϗ δρῶσιν; Μοῦσαν αὐτοῖς προσᾴδουσιν ἐπιχώριον, ϗ κατᾴδουσιν αὐτοὺς ὀργάνῳ τινὶ, ϗ τούτῳ συνήθει, καλεῖται σκινδαψὸς τὸ ὄργανον· ὁ δὲ ὑπέχει τὰ ὦτα ϗ θέλγεται, ϗ ἡ μὲν ὀργὴ πραΰνεται, ὁ δὲ θυμὸς ὑποστέλλεταί τε ϗ θόρνυται, κατὰ μικρὰ δὲ ϗ εἰς τὴν τροφὴν ὁρᾷ· εἶτα ἀφεῖται μὲν τῶν δεσμῶν, μένει δὲ τῇ μούσῃ δεδεμένος, ϗ δειπνεῖ προθύμως ἁβρὸς δαιτυμὼν καταδεδεμένος, πόθῳ γὰρ τοῦ μέλους οὐκ ἂν ἔτι ἀποσταίη. Λιβύων δὲ ἵπποι (δεῖ γὰρ ἀκοῦσαι ϗ τὸν λόγον τὸν ἕτερον) ἐς τοσοῦτον αὐτὰς αἱρεῖ ἡ αὔλησις, πραΰνονταί τε ϗ ἡμεροῦνται, ϗ ὑπολήγουσι μὲν τοῦ ὑβρίζειν τε ϗ σκιρτᾷν· ἕπονται δὲ τῷ νομεῖ, ὅπῃ ἂν αὐτὰς τὸ μέλος ἐπάγῃ· ἐπιστάντος δὲ, ϗ ἐκεῖναι ἐφίστανται· ἐὰν δὲ παρατείνῃ εἰς τὸ αὔλημα, λείβεται δάκρυα ὑφ᾽ ἡδονῆς αὐταῖς. Οἱ μὲν οὖν βουκόλοι τῶν ἵππων ῥοδοδάφνης κλάδον κοιλάναντες ϗ ἐργασάμενοι αὐλὸν, ϗ εἰς αὐτὸν ἐμ-

πνέοντες,

cujus ſonoro inflatu armentum antegredientes demulcent. Euripides dicit, paſtores hymenaeos ad tibiam cantantes ad venerem equas incitare, atque etiam equos ad ineundas feminas incendere. Ad hunc igitur modum equinae nuptiae initiantur, ut nuptiale carmen tibia praecinat.

CAP. XLV.

De Delphinorum muſices amore.

DELPHINORVM genus quantopere cantu et tibiis delectetur, luculentum Arionis Methymnaei hiſtoria nobis teſtimonium fuerit; quam et ſtatua ejus in Taenaro, et ſubſcriptum epigramma repraeſentant, hoc videlicet diſtichon:

E pelago ſervavit Ariona Cyclone natum
Delphinus vector, diis ducibus, Siculo.

Ceterum hymnus, quo ſe Arion gratum Neptuno declarare, et ſimul delphinorum in muſicam ſtudium teſtari voluit, tanquam et illis mercedem pro ſe ſervato et ſuperſtite exſolvens, ab eo conditus ejuſmodi eſt:

Neptune deum maxime,
Qui rex maris profundi
Tridente clarus aureo
Complecteris undique terram:
Te branchiis et pinnis
Inſigne piſcium genus
Mutae colunt natantes:
Prae ceteris te pandi
Circumnatant delphines,
Canes marini, et errant
Iuxta, leveſque ſaliunt;
Quandoque et inſtar jaculi
Vibrant ſeipſos eminus
Pernicitate mira,

Cervice

πνέοντες, εἶτα ἔτω προειρημένων καταυλȣ̃σιν. Λέγει δὲ Εὐριπίδης ϗ ποιμνίτας τινὰς ὑμεναίȣς· ἔςι δὲ ἄρα τȣ̃το αὔλημα, ὅπερ ȣ̃ν τὰς μὲν ἵππȣς τὰς θηλείας εἰς ἔρωτα ἐμβάλλει, ϗ οἶςρον ἀφροδίσιον· τȣ̀ς δὲ ἄῤῥενας μίγνυσθαι αὐταῖς ἐκμαίνει. Τελȣ̃νται μὲν ἱππικοὶ γάμοι τὸν τρόπον τȣ̃τον, ϗ ἔοικεν ὑμέναιον ᾄδειν τὸ αὔλημα.

Κ Ε Φ. μέ.

Περὶ τῆς τῶν Δελφίνων φιλομȣσίας.

ΤΟ τῶν δελφίνων φῦλον, ὡς εἰσι φιλῳδοί τε ϗ φίλαυλοι, τεκμηριῶσαι ἱκανὸς ϗ Ἀρίων ὁ Μηθυμναῖος, ἔκ τε τȣ̃ ἀγάλματος τȣ̃ ἐπὶ Ταινάρῳ, ϗ τȣ̃ ὑπ' αὐτȣ̃ γραφέντος ἐπιγράμματος· ἔςι δὲ τὸ ἐπίγραμμα·

Ἀθανάτων πομπαῖσιν Ἀρίονα Κύκλονος υἱὸν,
Ἐκ Σικελȣ̃ πελάγȣς σῶσεν ὄχημα τόδε.

Ὕμνον χαριςήριον τῷ Ποσειδῶνι, ϗ μάρτυρα τῆς τῶν δελφίνων φιλομȣσίας, οἱονεὶ ϗ τȣ́τοις ζωάγρια ἐκτίνων, ὁ Ἀρίων ἔγραψε· ϗ ἔςιν ὁ ὕμνος ȣ̃τος·

Ὕψιςε θεῶν πόντιε,
Χρυσοτρίαινε Πόσειδον,
Γαιήοχ', ἐγκυμονάλμαν·
Βράγχιοι περὶ δέ σε πλωτοὶ θῆρες
Χορεύȣσιν ἐν κύκλῳ,
Κȣ́φοισι ποδῶν ῥίμμασιν
Ἐλαφρὰ ἀναπαλλόμενοι·
Σεισμοὶ φριξαύχενες
Ὠκυδρόμοι σκύλακες,
Φιλόμȣσοι δελφῖνες,

Ἔναλα

Cervice rigidi recta;
Oblectat hosce musica;
Amant eos Nereides
Suum pecus puellae,
Quas Amphitrite peperit.
Vos me vagantem Siculo
In aequore ad Tenarium
Litus tulistis equitem,
Vectumque dorsis vestris;
Vester chorus me placide,
Non pervium mortalibus,
Longe salum lateque
Sulcans natando eduxit;
In quod viri me nautae
Dejecerant e navi
Curva, marina, perfidi.

Ergo etiam alia, quae praediximus, et musicae studium in delphinis laudari convenit.

CAP. XLVI.

Apri et Cervi quomodo musica capiantur.

TYRRHENORUM sermone pervagatum est apros et cervos apud eos, cum retibus et canibus, ut venandi sane usus ferre solet, tum multo maxime musicae adjumento capi; quod quidem ipsum quemadmodum fiat, jam porro dicam. Circumjectis retibus, et ceteris instrumentis idoneis ad faciendas bestiis insidias collocatis, homo tibia canendi bene peritus, quoad ejus fieri potest, omnem cantus contentionem remittit et relaxat, et quidlibet ad canendum suave praeclare usurpat; et sensim pedetentimque progrediente illo, in montium vertices et convalles, et densa frutetis loca, atque, ut brevi explicem, in omnia lustra ferarum

Ἔναλα θρέμματα κουρᾶν
Νηρηΐδων θεᾶν,
Ἃς ἐγείνατ᾽ Ἀμφιτρίτα.
Οἵ μ᾽ εἰς Πέλοπος γᾶν ἐπὶ
Ταιναρίαν ἀκτὰν ἐπορεύσατε
Πλαζόμενον Σικελῷ ἐνὶ πόντῳ,
Κυρτοῖσι νώτοις χορεύοντες,
Ἄλοκα Νηρείας πλακὸς
Τέμνοντες, ἀστιβῆ πόρον·
Φῶτες δ᾽ ἕλιοί με ἀπὸ ἁλιπλόου
Γλαφυρᾶς νεὼς εἰς οἶδμα
Ἁλιπόρφυρον λίμνας ῥίψαν.

Ἴδιον μὲν δήπου δελφίνων, πρὸς τοῖς ἄνω λεχθεῖσι, καὶ τὸ φιλόμουσον.

ΚΕΦ. μϛʹ.

Πῶς ἄρα τὰ ζῶα ἁλίσκεται ὑπὸ μουσικῆς, Σύές τε καὶ Ἔλαφοι.

Λόγος που διαῤῥεῖ Τυῤῥηνὸς, ὁ λέγων τοὺς ὗς τοὺς ἀγρίους, καὶ τοὺς παρ᾽ αὐτοῖς ἐλάφους, καὶ ὑπὸ δικτύων μὲν καὶ κυνῶν ἁλίσκεσθαι, ᾗπερ οὖν θήρας νόμος, συναγωνιζομένης δ᾽ αὐτοῖς τῆς μουσικῆς καὶ μᾶλλον· πῶς δὲ, ἤδη λέγω. Τὰ μὲν δίκτυα περιβάλλουσι, καὶ τὰ λοιπὰ θήρατρα, ὅσα ἐλλοχᾷ τὰ ζῶα· ἕστηκε δὲ ἀνὴρ αὐλῶν τεχνίτης, καὶ ὡς ὅτι μάλιστα πειρᾶται τοῦ μέλους ὑποχαλᾷν, καὶ ὅ,τι πολέ ἐστι τῆς μούσης σύντονον ἐᾷ, πᾶν δὲ ὅτι γλύκιστον αὐλῳδίας, τοῦτο ᾄδει· ἡσυχίᾳ τε καὶ ἠρεμίᾳ ῥᾳδίως διαπορθμεύει, καὶ εἰς τὰς ἄκρας, καὶ εἰς τοὺς αὐλῶνας, καὶ εἰς τὰ δάση, καὶ εἰς ἁπάσας, συνελόντι εἰπεῖν, τὰς τῶν θηρίων

rarum et cubilia, tibiae cantus influit. Ac nimirum primo in eorum aures influentis soni insolentia ipsos exterret; deinde cum impotenti voluptate aures tenentur, tum nullo negotio comprehenduntur, cantusque suavitate permulsi et deliniti in eorum, quae procreaverint, et domesticarum sedium oblivionem veniunt; etiamsi ferae bestiae non a locis, ubi versari adsueverunt, aberrare solent. Sic igitur Tyrrhenae bestiae paulatim tanquam suadae illecebra ducuntur, et quasi cantu praestrictae in laqueos sese inserunt, quibus illaqueatae comprehenduntur.

C A P. XLVII.

Quid capti pisces, Anthiae qui appellantur, faciant.

ANTHIAE cum sunt capti, miserabile praebent spectaculum, mortemque suam lugere et quodammodo supplicare videntur, sicut homines, qui in latrones immisericordes et caedis avidos inciderunt. Nonnulli autem eorum, dum aufugere nituntur, ac retibus insultantes insidias transilire conantur, trucidantur ferro; qui vero mortem evadunt, in terram antehac eis inimicam exsiliunt, atque ibidem mortem obire malunt, quam gladio perire.

AELIANI

κοίτας ϗ εὐνὰς τὸ μέλος εἰσρεῖ. Καὶ τὰ μὲν πρῶτα, παριόντος εἰς τὰ ὦτα αὐτοῖς τοῦ ἤχου, ἐκπέπληγε, ϗ διὰ τὸ ἀηθὲς καί που ϗ δείματος ὑποπίμπλανται· εἶτα ἀκρατῶς ϗ ἀμάχως αὐτὰ ἡδονὴ τῆς μούσης περιλαμβάνει, τὰ δὲ κατακηλούμενα λήθην ἔχει ϗ ἐγγόνων, ϗ οἰκιῶν, ϗ χωρίων· καί τοι φιλεῖ τὸ θηρίον μὴ ἀπὸ τῶν συντρόφων χωρίων πλανᾶσθαι. Τά δ' οὖν Τυῤῥηνὰ κατ' ὀλίγον ὥσπερ ὑπό τινος ἴυγγος ἀναπειθούσης ἕλκονται, ϗ καταγοητεύοντος τοῦ μέλους ἀφικνεῖται, ϗ ἐμπίπτει ταῖς πάγαις τῇ μούσῃ κεχειρωμένα.

ΚΕΦ. μζ'.

Τί δρῶσιν οἱ ἰχθύες, οἱ καλούμενοι Ἀνθίαι, ἁλισκόμενοι.

ΑΝθίαι δὲ βαλλόμενοι ὅταν ἁλῶσι, οἴκτιστόν εἰσι θεαμάτων, ϗ ἀποθνήσκοντες ἑαυτοὺς ἐοίκασιν θρηνεῖν, ϗ τρόπον τινὰ ἱκετεύειν, ὥσπερ οὖν ἄνθρωποι λῃσταῖς ἐντυχόντες ἀνοικτίστοις τε ϗ φονικωτάτοις. Οἱ μὲν γὰρ αὐτῶν ἀποδιδράσκειν πειρώμενοι εἶτα τοῖς δικτύοις ἐμπλάσσονται, ὑπεράλλεσθαι δὲ αὐτοὺς πειρωμένους τὸν λόχον εἶτα μέντοι καταλαμβάνει αἰχμή· οἱ δὲ ἀποδιδράσκοντες τὸν θάνατον, ἐς τὴν τέως πολεμίαν ἰχθύσι γῆν ἐξεπήδησαν, τὸ τέλος τοῦ βίου τὸ χωρὶς τοῦ ξίφους προῃρημένοι, ϗ μάλα ἀσμένως.

AELIANI
DE
NATVRA ANIMALIVM
LIBER XIII.

CAPVT I.

De Aquila, quae Gordio regnum praesignificavit; et de Lupo, qui Gelonem Syracusanum servavit.

GORDIO filium suum Midam regem fore aquilam praesignificasse audio, cum ea supra hujus caput arantis primo volasset, deinde totum diem in jugo sessitare non prius destitisset, quam is, vespera accedente, arationem dimisisset. Lupus item maxima magnitudine cum in ludum invasisset, et de manibus Gelonis Syracusani pueri tabellam rapuisset, Gelon de sede surgens, non quidem feram timore perterrebat, sed acerrimo tabellae suae desiderio eam insequebatur. Postea autem quam hic extra tabernam ludi literarii fuisset, haec quidem repentina ruina corruens pueros una cum praeceptore confecit et oppressit, ac Gelon solus divinae providentiae munere sodalibus suis superfuit; quod ipsum, non eum a lupo occisum, sed potius servatum fuisse, magnam profecto admirationem habet. Non igitur rationis expertia deus negligit, imo vero cara habet, cum per illa Gordio regnum praesignificarit, Gelonem vero ex impendente periculo servaverit. Ergo bestiae etiam in amore sunt divino numini.

CAP.

ΑΙΛΙΑΝΟΥ

ΠΕΡΙ ΖΩΩΝ ΙΔΙΟΤΗΤΟΣ

ΒΙΒΛΙΟΝ ΙΓ΄.

ΚΕΦΑΛΑΙΟΝ α΄.

Περὶ Ἀετοῦ τοῦ προσημήναντος Γορδίῳ τὴν βασιλείαν, καὶ Λύκου τοῦ σώσαντος Γέλωνα τὸν Συρακούσιον.

ΑΕΤΟΝ ἀκούω Γορδίῳ τὴν τοῦ παιδὸς αὐτοῦ Μίδου βασιλείαν ὑποσημῆναι, ἡνίκα ἀροῦντι τῷ Γορδίῳ ἐπιπτὰς, εἶτα μέντοι κατὰ τοῦ ζύγου καθίσας, συνδιημέρευσεν, οὐδὲ προαπέστη, πρὶν ἢ γενομένης ἑσπέρας καὶ ἐκεῖνος κατέλυσε τὴν ἄροσιν, ἐπιστάντος τοῦ βουλυτοῦ. Γέλωνος δὲ τοῦ Συρακουσίου παιδὸς ὄντος, λύκος μέγιστος εἰσπηδήσας εἰς τὸ διδασκαλεῖον ἐξήρπασε τῶν χειρῶν τοῖς ὀδοῦσι τὴν δέλτον, καὶ ὁ Γέλων ἐξαναστὰς τοῦ θάκου ἐδίωκεν αὐτὸν, τὸ μὲν θηρίον μὴ καταπλήξας, περιεχόμενος δὲ τῆς δέλτου ἰσχυρῶς. Ἐπεὶ δὲ ἔξω τοῦ διδασκαλείου ἐγένετο, τὸ μὲν κατηνέχθη, καὶ τοὺς παῖδας αὐτῷ διδασκάλῳ κατέλαβε, θείᾳ δὲ προμηθείᾳ ὁ Γέλων περιῄει μόνος· καὶ τόγε παράδοξον, οὐκ ἀπέκτεινεν ἄνθρωπον, ἀλλ' ἔσωσε λύκος. Οὐκ ἀτιμασάντων τῶν θεῶν ὅσον οὐ διὰ τῶν ἀλόγων τῷ μὲν τὴν βασιλείαν προδηλῶσαι, τὸν δὲ τοῦ μέλλοντος κινδύνου σῶσαι. Ἴδιον δὲ τῶν ζώων καὶ τὸ θεοφιλές.

ΚΕΦ.

CAP. II.

De piscatione Sargorum.

SARGOS Cares hoc modo capiunt. Cum auster placide et mollibus auris spirat, et undae tranquillae leni ad litus murmure offendunt; tum piscator non indigens arundine, juniperi alicujus vegetissimae virgam accipit, et extremitati ejus lineam alligat, hamoque lycostomum neque recentem neque plene salsum, ac in mare demittit; in piscatorii autem navigii puppe sedens, insidias in mare demissas leviter movet, simulque ei quiete inseservit puer, qui probe tenens ut sensim pedetentimque navis impellenda sit, ad terram versus remigat. Tum sargi permulti exsultantes ex suis latibulis prosiliunt, et ad hamum congregantur; piscis enim jampridem occisus, et ad capiendum divulsus, eos veluti illecebra allectat: cumque propius a terra sunt, cibi aviditate irretiti facile comprehenduntur.

CAP. III.

Herbarum marinarum differentiae; et quod alii Pisces alias depascantur.

PISCES alii alia loca amant et incolunt; alii inter saxa morantur, in arenis alii, quidam inter herbas. Sunt enim in mari etiam herbae, ut brya, et vites, et uvae dictae, et fuci vel algae; est et brassica quaedam marina, sunt mnia, et triches. Ex his pisces alii aliam degustant, familiarem sibi, et cui sit adsuetus quisque; nec aliam attigerit.

CAP.

ΚΕΦ. β΄.

Περὶ τῆς τῶν Σαργῶν θήρας.

ΟΙ Κᾶρες αἱροῦσι τοὺς σαργοὺς τὸν τρόπον τοῦτον. Νότου καταπνέοντος ἡσυχῆ, καὶ προσβάλλοντος αὔρας μαλακωτέρας, καὶ τοῦ κύματος στορεσθέντος, καὶ πράως ταῖς ψάμμοις ἐπηχοῦντος, τηνικαῦτα ὁ θηρατὴς καλάμου μὲν οὐ δεῖται οὐδὲ ἓν, λαβὼν δὲ ἀρκεύθου ῥάβδον πάνυ σφόδρα ἐῤῥωμένης, ἐπ᾽ ἄκρας αὐτῆς ἐξάπτει σειρὰν, καὶ περὶ τῷ ἀγκίστρῳ κυκλόστομον ὄντα ἡμιτάριχος, καὶ καθίησιν εἰς τὴν θάλατταν· καὶ κάθηται μὲν ἐπὶ τῇ πρύμνῃ τῆς πορθμίδος, καὶ τὸν δόλον ὑποκινεῖ, ὑπηρετεῖ δέ οἱ καὶ παῖς ἡσυχῆ, προμαθὼν τῆς ἐλάσεως τὸ σχολαῖον ἐπιτηδὲς, καὶ ὡς ἐπὶ τὴν γῆν προάγει τὸ σκάφος. Πολλοὶ δὲ οἱ σαργοὶ παρασκιρτῶσιν ἐκ τῶν συντρόφων φωλεῶν ἀναθορόντες, ἀθροίζονται δὲ ἐπὶ τὸ ἄγκιστρον· ἄγει γὰρ αὐτοὺς οἱονεὶ ἴϋγγι ὁ πάλαι τεθνηκὼς μὲν, εἰς τὸ ἑλεῖν δὲ διασπασθεὶς ἰχθύς· εἶτα πλησίον τῆς γῆς γενόμενοι ῥᾳδίως ἁλίσκονται, τῇ λιχνείᾳ τῆς γαστρὸς δεδεμένοι.

ΚΕΦ. γ΄.

Θαλαττίας Πόας διαφοραὶ, καὶ ὅτι ἄλλος Ἰχθὺς σιτεῖται ἄλλην.

ΔΙατριβαὶ δὲ ἰχθύων πολλαὶ, καὶ γίνονται οἱ μὲν ἐν ταῖς πέτραις, οἱ δὲ ἐν ταῖς ψάμμοις, ἄλλοι δὲ ἐν ταῖς πόαις. Καὶ γάρ τοι καὶ πόαι θαλάττιαί εἰσι, καὶ αἱ μὲν αὐτῶν καλοῦνται βρύα, αἱ δὲ ἄμπελοι, καὶ σταφυλαί τινες, καὶ φυκία ἄλλα· ἦν δὲ ἄρα θαλαττίου πόας καὶ κράμβη ὄνομα, καὶ μνία καλεῖταί τινα ἐν αὐταῖς, καὶ τρίχες. Τροφὴ δὲ ἄρα τούτων ἄλλῳ ἄλλο ἦν, καὶ οὐκ ἂν πάσαιτο ἕτερον ὁ εἰθισμένος τῇ συντρόφῳ καὶ ὁμοεθνεῖ, ὡς ἂν εἴποι τις.

CAP. IV.

De Callionymo piſce.

DE rei piſcatoriae bene peritis audire potes, ex piſcibus quendam eſſe nomine callionymum. Huic Ariſtoteles ait in dextra jecoris fibra copioſum fel ſitum eſſe, jecur autem ad laevum latus collocatum eſſe. Cui quidem rei teſtimonio eſt Menander in Meſſenia inquiens:

Facio te habere fel callionymo copioſius.

Anaxippus item in Epidicazomeno:

Me ſi moveas, et ſicut callionymi
Fervere efficias omne fel,
Nihil a xiphia cane me differre videbis.

Sunt qui eum dicant edulem, alii plerique negant. Poetae quidem ubi convivia et epulas deſcribunt, non facile ejus meminerunt, cum alioqui pleroſque, quorum uſus eſt, ſuis verſibus nominarint: ut Epicharmus in Nuptiis Iunonis, et Terra Marique, et inſuper Muſis; et Mneſimachus in Iſthmionice.

CAP. V.

De Rana marina.

NON animatos partus edit, ſed, ſimiliter ut aves, ex ſeſe rana marina ovum parit: cujus quidem foetus vel a partu recentes capite praediti ſunt tum magno tum aſpero; eamque ob rem cum quippiam metuunt, ipſa intra ſe recipere minime eſt idonea, nam illam etiam rurſus ſubeuntes exulcerant; et ſimiliter ſi vivos in lucem proferret, exeundo laederent. Non ergo vivos parit, nec foetibus bona perfugia praeſtat. Hujus ovum non na-

turae

ΚΕΦ. δ'.

Περὶ τοῦ ἰχθύος τοῦ καλουμένου Καλλιωνύμου.

ΑΚέσαις δ' ἂν ἁλιέων καὶ ἰχθύων τινὰ καλλιώνυμον οὕτω λεγόντων· καὶ ὑπὲρ αὐτοῦ Ἀριστοτέλης λέγει, ὅτι ἄρα ἐπὶ τοῦ λοβοῦ τοῦ δεξιοῦ καθημένην ἔχει χολὴν πολλήν, αὐτῷ δὲ τὸ ἧπαρ κατὰ τὴν λαιὰν φορεῖται πλευράν. Καὶ μαρτυρεῖ τούτοις καὶ ὁ Μένανδρος, ἐν τῇ Μεσσηνίᾳ οἶμαι λέγων·

Τίθημ' ἔχειν χολήν σε καλλιωνύμου
Πλείω.

Καὶ Ἀνάξιππος ἐν Ἐπιδικαζομένῳ·

Ἐάν με κινῇς, καὶ ποιήσῃς τὴν χολὴν
Ἅπασαν ὥσπερ καλλιωνύμου ζέσαι,
Ὄψει διαφέρων τοῦ ἐγξιφίου κυνός.

Εἰσὶ μὲν οὖν οἵ καί φασιν αὐτὸν ἐδώδιμον, οἱ δὲ πλείους ἀντιλέγουσιν αὐτοῖς. Οὐ ῥᾳδίως δὲ αὐτοῦ μνημονεύουσιν ἐν ταῖς ὑπὲρ τῶν ἰχθύων πανθοινίαις, ὧν τι καὶ ὄφελός ἐστι, ποιητῶν θεμένων σπουδὴν εἰς μνήμην ἔνθεσμον. Ἐπίχαρμος μὲν ἐν Ἥρας Γάμῳ, καὶ Γῇ καὶ Θαλάσσᾳ, καὶ προσέτι Μούσαις· Μνησίμαχος δὲ ἐν τῇ Ισθμιονίκῃ.

ΚΕΦ. έ.

Περὶ θαλαττίου Βατράχου.

ΒΑτραχος δὲ θαλάττιος τίκτει κατὰ τοὺς ὄρνιθας ᾠὸν καὶ οὗτος, οὐ ζωογονεῖ γὰρ ἐν αὐτῷ· κεφαλὴν γὰρ ἔχει καὶ τὰ ἀρτιγενῆ, μεγάλην τε ἅμα καὶ τραχεῖαν· καὶ διὰ ταῦτα ὑποδέξασθαι τὰ βρέφη δείσαντα ἥκιστός ἐστι, ἑλκοῦσι γὰρ αὐτὸν καὶ κακῶς εἰσπίπτοντα τὴν αὖθις· ἀλλὰ καὶ τικτόμενα ἂν καὶ ἐξιόντα εἰργάζετο παραπλήσια. Οὔτε οὖν εὐώδινες εἰς ζώων γένεσίν εἰσιν, οὔτε μὴν κρησφύγετα τοῖς ἐγγόνοις ἀγαθοί. Ὡς δὲ τὴν

turae ovatae ſpeciem ſimilitudinemque proprie gerit, cum ſit ſquamoſum, aſperum, et ad tactum reſiſtens et durum.

C A P. VI.

Quod Polypi ad maximam magnitudinem procedant, et difficulter capiantur.

Temporis longinquitate polypi adeo magni evadunt, ut ad ceti magnitudinem accedant, cetaceique generis numerum obtineant. Puteolis oppido Italiae auditum eſt polypum, cum ad inuſitatam corporis molem excreviſſet, ſpreto et neglecto maritimo victu, in continentem proceſſiſſe, et terrena quaedam depraedatum eſſe; et çum per ſubterraneum ſpecum, Puteolanas ſordes in mare tranſmittentem, natando in maritimam domum adſcendiſſet, ubi mercatorum ex Iberia res ſalſamentaque in magnis vaſis eſſent, brachiorum circumplexione vaſa primo ſtricte comprimentem confregiſſe, deinde ſalſamenta depopulatum fuiſſe. Mercatores vero ingreſſos, ubi dolia diſrupta inſpexiſſent, et permagnum earum rerum, quas navi advexiſſent, numerum exhauſtum deprehendiſſent, ſtupuiſſe; ac nimirum cum ab inſidiis fores integras, tecta ab omni irruptione intacta, parietes non perfoſſos intuerentur, quiſnam populator fuiſſet, nulla conjectura adſequi potuiſſe; at enim cum reliquias conditorum piſcium a non vocato conviva relictas animadverterent, eos conſtituiſſe ex domeſticis audaciſſimum armatum intus in inſidiis ponendum eſſe. Polypum vero noctu ad adſuetas epulas adrepentem revertiſſe; et tanquam athleta adverſarium ſtrictiſſime correptum ſuffocat, ſic flagellis vaſa circumplicantem facillime perfregiſſe praedonem, ut ita dicam, polypum. Eum porro, qui inſidias moliretur, etiamſi lunae fulgore domus illuſtraretur, omniaque conſpicua eſſent, non tamen, quoniam ſolus eſſet, beſtiae tantae metu perterritum, hanc aggreſſum fuiſſe, ſed mane mercatoribus

φύσιν ἢ ἰδιότητα οὐχ ὁμολογεῖ τὸ τῶν βατράχων, τραχὺ δέ ἐστι ϗ ἐκεῖνο, ϗ ἔχει φολίδας, ϗ προσαψαμένῳ φανεῖταί σοι ἀντίτυπον.

ΚΕΦ. ς΄.

Ὅτι μέγιστοι γίνονται οἱ Πολύποδες, ϗ αἱρεθῆναι δυσκαταγώνιστοι.

ΟΙ πολύποδες ϗ αὐτοὶ χρόνῳ γίνονται μέγιστοι, ϗ εἰς κήτη προχωροῦσι, ϗ ἐναριθμοῦνται ἐν αὐτοῖς ϗ οὗτοι. Ἀκούω γοῦν ἐν Δικαιαρχίᾳ τῇ Ἰταλικῇ πολύπουν εἰς ὄγκον σώματος ὑπερήφανον προελθόντα, τὴν μὲν ἐν τῇ θαλάττῃ τροφὴν, ϗ τὰς ἐκεῖθεν νομὰς ἀτιμάσαι, ϗ ὑπερφρονῆσαι αὐτῶν, προΐει δὲ ἄρα οὗτος ϗ εἰς τὴν γῆν, ϗ ἐληΐζετο ϗ τῶν χερσαίων ἔστιν ἅ· ἐκοῦν ϗ διά τινος ὑπονόμου κρυπτοῦ, ἐκβάλλοντος εἰς τὴν θάλατταν τὰ ἐκ τῆς πόλεως τῆς προειρημένης ῥυπαρὰ, εἰσνέων, ϗ ἀνιὼν εἰς οἶκόν τινα πάραλον, ἔνθα ἦν ἐμπόρων Ἰβηρικὸς φόρτος, ϗ ταρίχη τὰ ἐκεῖθεν ἐν σκεύεσιν ἀδροῖς, εἶτα τὰς πλεκτάνας περιχέων, ϗ σφίγγων τὸν κέραμον, ἐῤῥήγνυ τὰ ἀγγεῖα, ϗ κατεδαίνυτο τὰ ταρίχη. Οἱ δὲ εἰσιόντες, ὡς ἑώρων τὰ ὄστρακα, πολὺν δὲ τοῦ φόρτου ἀριθμὸν ἀφανῆ κατελάμβανον, ἐξεπλήττοντο· ϗ τίς ἦν ὁ κεραΐζων αὐτοὺς, συμβαλεῖν οὐκ εἶχον, τῶν μὲν θυρῶν ἀνεπιβουλεύτων βλεπομένων, τοῦ δὲ ὀρόφου ὄντος ἀσινοῦς, ϗ τῶν τοίχων μὴ διεσκαμμένων· ἑωρᾶτο δὲ ϗ τῶν ἰχθύων τῶν ταρίχων λείψανα ἀπολειφθέντα ὑπὸ τοῦ ἀκλήτου δαιτυμόνος, ἔκριναν δέ τινα τῶν οἰκείων μάλιστα εὐτολμότατον ἔνδον ὡπλισμένον καταλιπεῖν ἐλλοχῶντα. Νύκτωρ οὖν ἐπὶ τὴν συνήθη δαῖτα ὁ πολύπους ἀνέρπει, ϗ περιχυθεὶς τοῖς σκεύεσιν, ὥσπερ εἰς πνίγμα ἀθλητὴς, συλλαβὼν τὸν ἀντίπαλον ἐγκρατῶς τε ϗ μάλα εὐλαβῶς, εἶτα συνέτριβε τὸν κέραμον λῃστὴς, ὡς εἰπεῖν, ὁ πολύπους ῥᾷστα. Ἦν δὲ διχόμηνος, ϗ κατελάμπετο ὁ οἶκος, ϗ πάντα ἦν εὐσύνοπτα· ὁ δὲ οὐκ ἐπεχείρει μόνος, δείσας τὸν θῆρα, ϗ γὰρ μόνου μείζων ὁ ἐχθρὸς ἦν, περιηγεῖ-

toribus totam rem explicaſſe; quod quidem ipſum ii audientes ei fidem non habebant. Deinde tum negociatores ob tantum acceptum detrimentum, periculi memoria depoſita, conſenſerunt ſimul ingredi, et congredi cum hoſte; tum alii inuſitati et incredibilis ſpectaculi ſtudio ſua ſponte ſeſe auxiliatores una in domo illa concluſerunt. Poſtea vero quam ſub veſperam in ſolita dolia fur invaſiſſet, ex eis partim cloacam obſtruebant, partim armis tecti in hoſtem irruentes dolabris et cultris acutiſſimis ejus brachia abſcindebant; cumque, quemadmodum vinitores et putatores arborum robuſtiſſimos ramos ſecant, ſic ii ipſius membra circumcidiſſent, tandem vix non parvo labore eum ipſum confecerunt; et, quod quidem admirationem habet, in terra piſcem mercatores fuerunt expiſcati, hujuſque belluae propriam veteratoriam nobis oſtenderunt.

CAP. VII.

Quemadmodum Elephantorum vulneribus et oculorum, aliiſque morbis medeantur Indi.

Eorum, quos ceperint Indi, elephantorum vulneribus ad hunc modum medicinam adferunt. Aqua primum tepida haec perfundunt, ut Eurypyli Patroclus apud praeſtantiſſimum Homerum; deinde butyro ungunt; poſtea, ſi profundiora fuerint, inflammationem leniunt, ſuillam carnem recenti ſanguine ſuo madentem et calidam adhuc admoventes. Oculorum vero morbos ſanant, bubulum lac tepefactum iis infundentes; quo hi remedio oculos aperiunt, et magno cum voluptatis ſenſu, ſicut homines, vim medicinae agnoſcunt; tamdiu vero utuntur ac repetunt hoc remedium, donec lippitudo ceſſet. Ceteris, quibus adfliguntur, morbis vinum nigrum medetur; quod ſi hac medicina ex morbo non liberantur, inſanabiles ſunt.

CAP.

ται δὲ ἔωθεν τοῖς ἐμπόροις τὰ πεπραγμένα· ἀκέοντες δὲ ἠπίςευν. Εἶτα οἱ μὲν τῆς ζημίας τῆς τοσαύτης τὸν κίνδυνον μνήμην ἀνερρίπτευν, καὶ ζυνεισελθεῖν τῷ ἐχθρῷ ζυνέσπευδον· οἱ δὲ τῆς καινῆς καὶ ἀπίςου θέας διψῶντες ζυναπεκλείοντο αὐθαίρετοι ζύμμαχοι. Εἶτα ἑσπέρας ὁ φὼρ ἐπιφοιτᾷ, καὶ ὁρμᾷ ἐπὶ τὴν ζυνήθη τράπεζαν· ἐνταῦθα οἱ μὲν ἀπέφραττον τὸν ὀχετὸν, οἱ δὲ ὡπλίζοντο ἐπὶ τὸν πολέμιον, καὶ κοπίσι καὶ ξυροῖς τεθηγμένοις αὐτοῦ διέκοπτον τὰς πλεκτάνας, ὡς δρυὸς κλάδους ἀδρολάτους ἀμπελουργοί τε καὶ δρυοτόμοι· καὶ τὴν ἀλκὴν αὐτοῦ περικόψαντες, καθεῖλον ὀψὲ καὶ μόγις οὐκ ὀλίγα πονήσαντες· καὶ τὸ καινότατον, ἐν τῇ γῇ τὸν ἰχθὺν ἐθηράσαντο ἔμποροι, καὶ τὸ κακοῦργον δὴ τοῦδε τοῦ ζώου, καὶ τὸ δολερὸν ἀναπέφηναν ἡμῖν ἴδιον ὄν.

ΚΕΦ. ζ'.

Τίνα τρόπον ἰῶνται τὰ τῶν Ἐλεφάντων τραύματα οἱ Ἰνδοὶ, καὶ τὰς ὀφθαλμίας, καὶ ἄλλα νοσήματα.

ΤΩΝ τεθηραμένων ἐλεφάντων ἰῶνται τὰ τραύματα οἱ Ἰνδοὶ τὸν τρόπον τοῦτον. Καταιονοῦσι μὲν αὐτὰ ὕδατι χλιαρῷ, ὥσπερουν τὸ τοῦ Εὐρυπύλου παρὰ τῷ καλῷ Ὁμήρῳ ὁ Πάτροκλος· εἶτα μέντοι διαχρίουσι τῷ βουτύρῳ αὐτά· ἐὰν δὲ ᾖ βαθέα, τὴν φλεγμονὴν πραΰνουσιν, ὕεια κρέα θερμὰ μὲν, ἔναιμα δὲ ἔτι προσφέροντες, καὶ ἐντιθέντες. Τὰς δὲ ὀφθαλμίας θεραπεύουσιν αὐτῶν, βόειον γάλα ἀλεαίνοντες, εἶτα αὐτοῖς ἐγχέοντες· οἱ δὲ ἀνοιγουσι τὰ βλέφαρα, καὶ ὠφελούμενοι ἥδονταί τε καὶ αἰσθάνονται, ὥσπερ ἄνθρωποι· καὶ εἰς τοσοῦτον ἐπικλύζουσιν, εἰς ὅσον ἂν ὑποπαύσωνται λημῶντες, μαρτύριον δὲ τοῦ παύσασθαι τὴν ὀφθαλμίαν τοῦτ' ἔςιν. Τὰ δὲ νοσήματα ὅσα αὐτοῖς προσπίπτει ἄλλως, ὁ μέλας οἶνός ἐςιν αὐτοῖς ἄκος· εἰ δὲ μὴ γένοιτο ἐξάντης τοῦ κακοῦ τῷ φαρμάκῳ τῷδε, ἄσωςά οἱ ἐςί.

CAP. VIII.

Differentiae victus Elephantorum gregariorum, et certamini destinatorum.

ELEPHANTVS quidem gregarius adsuefactus aquae utitur potione; ei vero, qui in bello certat, vini, non quidem ex vitibus confecti, sed ex oryza vel calamis factitii usus indulgetur. Simul et flores eis dantur, atque in prata ad legendos flores, quia suavitatem odorum amplexentur, et mansuetiores evadant, aguntur; ipso enim odoratu flores internoscentes colligunt, atque etiam hos lectos in calathum inferunt, quem eorum rector sustinet. Postquam hunc floribus compleverint, tanquam vindemia facta, lavatione, similiter atque homines lauti, delectantur. Vt vero ea usi reverterint, flores suos expetunt; quod si rector adferre tardaverit, barritum edunt, neque prius cibum sumunt, quam eis quispiam, quos collegerint, flores attulerit; eos allatos de quasillo tollentes sui praesepis labra ornant, hanc nimirum cibo suavitatem ex his bene olentibus, ut ita dicam, excogitantes: stabulum etiam, ubi diversantur, floribus permultis sternunt, ut suavius dormiant. Ceterum Indici elephanti novem cubitorum altitudine, latitudine vero quinque, habentur; maximi illic, qui prasii appellantur; his magnitudine proximi existimantur taxilae nuncupati.

CAP. IX.

Quod Equi Indici ad domandum difficillimi sunt; et de Elephantis.

INDICVM equum exsultantem, et immoderatius excurrentem continere, et habenis adductis coercere, non est cujusvis, sed hominum, qui a prima aetate ad rerum equestrium scientiam instituti sint. Hi fraeno ipsos sustinere, regere, et moderari adsueverunt; et quanquam nullis lupatis, sive fraenis aculeatis, os et palatum

ΚΕΦ. ή.

Διαφοραὶ τροφῆς Ἐλεφάντων ἀγελαίων, ϗ ἀθλητῶν.

Ἐλέφαντι δὲ ἀγελαίῳ μὲν, εἰθισμένῳ γε μὴν, ὕδωρ πόμα ἐστί· τῷ δὲ εἰς πόλεμον ἀθλοῦντι οἶνος μὲν, οὐ μὴν ὁ τῶν ἀμπέλων, ἐπεὶ τὸν μὲν ἐξ ὀρύζης χειρουργοῦσι, τὸν δὲ ἐκ καλάμου. Προΐασι δὲ ϗ ἄνθη σφίσιν ἀθροίσαντες, εἰσὶ γὰρ ἐρασταὶ εὐωδίας, ϗ ἄγονταί γε ἐπὶ τοὺς λειμῶνας, ϗ ὀσμῇ πωλευθησόμενοι τῇ ἡδίστῃ· ϗ ὁ μὲν ἐκλέγει κρίνας τῇ ὀσφρήσει τὸ ἄνθος, τάλαρον δὲ ἔχων ὁ πωλευτὴς τρυγῶντος ϗ ἐμβάλλοντος ὑπέχει. Εἶτα ὅταν ἐμπλήσῃ τοῦτον, ὥσπερ οὖν ὀπώραν δρεπόμενος, λοῦται, ϗ ἥδεται τῷ λουτρῷ, κατὰ τοὺς τῶν ἀνθρώπων ἁβροτέρους. Εἶτα ἐπανελθὼν τὰ ἄνθη ποθεῖ, ϗ βοᾷ βραδυνόντος, ϗ οὐχ αἱρεῖται τροφὴν, πρὶν ἢ κομίσῃ τίς οἱ, ὅσα ἐτρύγησεν· εἶτα μέντοι τῇ προβοσκίδι ἀναιρούμενος ἐκ τοῦ ταλάρου τῆς φάτνης καταπάττει τὰ χείλη, ἥδυσμα τοῦτό γε τῇ τροφῇ διὰ τῆς εὐοσμίας ἐπινοῶν, ὡς εἰπεῖν· κατασπείρει δὲ ϗ τοῦ χώρου, ἔνθα αὐλίζεται τῶν ἀνθέων πολλὰ, ἡδυσμένον αἱρεῖσθαι γλιχόμενος ὕπνον. Ἰνδοὶ δὲ ἐλέφαντες ἦσαν ἄρα πηχῶν ἐννέα τὸ ὕψος, πέντε δὲ τὸ εὖρος· μέγιστοι ἄρα τῶν ἐκεῖθι ἐλεφάντων οἱ καλούμενοι πραίσιοι, δεύτεροι δ' ἂν τάττοιντο τῶνδε οἱ ταξίλαι.

ΚΕΦ. θ'.

Ὅτι δυσμεταχείριστοι οἱ Ἰνδοὶ Ἵπποι· καὶ περὶ Ἐλεφάντων.

Ἵππον δ' ἄρα Ἰνδὸν κατασχεῖν, ϗ ἀνακροῦσαι προπηδῶντα ϗ ἐκθέοντα, οὐ παντὸς ἦν, ἀλλὰ τῶν ἐκ παιδὸς ἱππείαν πεπαιδευμένων. Τοῦτο γὰρ αὐτοῖς ἐστιν ἐν ἔθει, χαλινῷ ἄρχειν αὐτῶν, ϗ ῥυθμίζειν αὐτοὺς, ϗ ἰθύνειν· κημοῖς δ' ἄρα κεντρωτοῖς ἀκόλαστόν τε ἔχουσι τὴν γλῶτταν, ϗ τὴν ὑπερῴαν ἀβασά-

νιστον

latum ipſorum urgeant; cogunt tamen eos, utcunque effraenes, equinae tractationis bene periti in gyrum circumagi, ut ipſe vidi. Veruntamen ad hunc gyrum agendum, atque ad conficiendum orbem, manuum robore opus eſt, et ſumma rei equeſtris ſcientia. Qui hujus diſciplinae ſunt experientiſſimi et callidiſſimi agitatores, currum etiam ſive quadrigas verſare in orbem plane norunt, cujus certamen non eſt contemnendum; currus vero duos milites pugnantes fert. Ceterum militaris elephantus thoracio, ut vocant, aut etiam nudo dorſo ſuo, tres bellatores fert, alterum dextra, alterum ſiniſtra pugnantem, tertium retro verſus; ac ſimul quartum ſecurim manibus tenentem, ſicque illa belluam dirigentem, tanquam navem clavo navicularium, reique nauticae peritum.

C A P. X.

Quemadmodum Pardales venantur Mauri.

PARDALES cum Mauri venantur, ut vivas capiant, ejuſmodi inſidias collocant, ut intra aedificatiunculam, lapidibus quam primo ſtruxerint, putreſcentis jam carnis fruſtum ex longiore ſuniculo appendant; deinde e virgis et arundinibus januam rara ſtructura imponant, per eas ut foetidae carnis odor emanet, et longe lateque vagetur. Hunc incluſum foetorem ferae beſtiae ſentiunt, nam quodammodo tetris odoribus delectantur; eum igitur percipiunt, ſive in deſertis montibus, ſive in valle profunda, ſive alio tractu ſylveſtri fuerint: et quae primum hunc odorem hauſerit, cibi deſiderio incitata, quanto poteſt impetu, ad dilectas dapes feſtinat et ſalit, tanquam quadam amatoria illecebra attracta; et incidit in januam, eamque ſubvertit, et infelici eſca conſtricta tenetur. Nam cum funiculo praedicto contextus eſt laqueus, perquam callide, qui, dum eſca movetur, comprehendit guloſam feram; quae ſubito miſere illaqueata poenas dat liguritionis, et helluationis importunae.

C A P.

νισον· ἀναγκάζουσι δὲ αὐτοὺς ὅμως οἵδε οἱ τὴν ἱππείαν σοφισαὶ περικυκλεῖν καὶ περιδινεῖσθαι ἐς ταὐτὸν στρεφομένους, καὶ, ἥπερ εἶδον, ἀσόμους. Δεῖ δὲ ἄρα τοῦτο δράσοντι καὶ ῥώμης χειρῶν, καὶ ἐπιστήμης εὖ μάλα ἱππικῆς. Πειρῶνται δὲ οἱ προήκοντες εἰς ἄκρον τῆσδε τῆς σοφίας καὶ ἅρμα οὕτως περικυκλεῖν καὶ περιάγειν, εἴη δ' ἂν ἆθλος ἐκ εὐκαταφρόνητος ἀδδηφάγων ἵππων τέτρωρον περιστρέφειν ῥᾳδίως· φέρει δὲ τὸ ἅρμα ἐπιβάτας καὶ δύο. Ὁ δὲ στρατιώτης ἐλέφας ἐπὶ τοῦ καλουμένου θωρακίου, ἢ καὶ νὴ Δία τοῦ νώτου γυμνοῦ καὶ ἐλευθέρου, πολεμιστὰς μὲν τρεῖς, παρ' ἑκάτερα βάλλοντας, καὶ τὸν τρίτον κατόπιν· τέταρτον δὲ τὸν τὴν ἅρπην κατέχοντα διὰ χειρῶν, καὶ ἐκείνῃ τὸν θῆρα ἰθύνοντα, ὡς οἴακι ναῦν κυβερνητικὸν ἄνδρα, καὶ ἐπιστάτην τῆς νεώς.

ΚΕΦ. ί.

Πῶς οἱ Μαυρούσιοι θηρῶσι τὰς Παρδάλεις.

Θήρα δὲ παρδάλεων Μαυρουσία εἴη ἂν, καὶ ἔστιν αὐτοῖς οἰκοδομία λίθων πεποιημένη, καὶ ἔοικε ζωαγρίᾳ τινὶ, καὶ ἔστι μὲν ὁ λόχος ὅδε ὁ πρῶτος· ὅγε μὴν δεύτερος ἔνδοτέρω σαπροῦ κρέως καὶ ὀδωδότος μοῖραν μηρίνθου τινὸς μακροτέρας ἐξαρτῶσιν, θύραν δὲ ἐκ κρηπίδων καί τινων καλάμων ἀραιὰν ἐπέστησαν, καὶ μέντοι καὶ δι' αὐτῶν ἐκπνεῖται ἡ τοῦ κρέως τοῦ προειρημένου ὀσμὴ διαρρέουσα. Αἴσθονται δὲ αἱ θῆρες, καὶ γάρ πως τοῖς κακόσμοις φιληδοῦσι· προσβάλλει γὰρ αὐταῖς ὁ τῶν προειρημένων ἀὴρ, ἐάν τε ἐν ἀγρίοις τοῖς ὄρεσιν, ἐάν τε ἐν φάραγγι, καὶ μέντοι καὶ ἐν αὐλῶνι· εἶτα ἀνεφλέχθη, καὶ ἡ τῇ ὀσμῇ ἐντυχοῦσα, καὶ ὑπὸ τῆς ἄγαν ὁρμῆς ἐς τὴν θοίνην τὴν φίλην ἄττει φερομένη, ἕλκεται δὲ ὑπ' αὐτῆς ὡς ὑπό τινος ἴυγγος· εἶτα ἐμπίπτει τῇ θύρᾳ, καὶ ἀνατρέπει αὐτὴν, καὶ ἔχεται τοῦ δυστυχοῦς δείπνου. Τῇ γάρ τοι μηρίνθῳ τῇ προειρημένῃ συνυφάνθη ἡ πάγη, καὶ μάλα σοφὴ, ἥπερ οὖν ἐσθιομένου τοῦ κρέως κινεῖται, καὶ περιλαμβάνει τὸν λίχνον πάρδαλιν· καὶ ἑάλω γαστρὸς ἀδδηφάγου, καὶ μυσαρᾶς ἑστιάσεως δίκας ἐκτίνουσα ἡ δυστυχής.

CAP. XI.

Quemadmodum a Vulpibus Lepores captantur.

Lepores interdum a vulpibus non tantum curſu, ſed etiam magis arte, comprehenduntur; captioſe enim circumvenire et inducere vulpes probe novit. Cum igitur noctu in leporis veſtigium inciderit, et feram olfecerit, tacite et ſine ſtrepitu ingrediens, ſpiritum comprimit, eumque in ipſo cubili deprehendens, tanquam de inſidiis, ſecurum animi et inſperantem capere aggreditur. At enim lepus non diſſoluto et ignaviter remiſſo animo ſomnum capit; et ſimulac primum vulpem adventantem ſenſu comprehenderit, de cubili exſilit, properans fugam capere, et curſum ad ſummam celeritatem facit; vulpes item veſtigiis eum inſequens ingreditur currere. Verum longam viam ubi hic confecerit, ut qui jam longinquo abſceſſu contra vulpem ſuperior factus ſit, ſub dumeta, aliave fruteta denſiora ſubiens, ex longo curſu, libenti animo ſe quieti dat; at vulpes e veſtigio inſequens ei non concedit, ex fuga ut conſiſtat, et laboris requietem habeat, ſed ad alterum curſum ex quiete eum excitat et agitat. Poſtea vero quam incitato curſu is non minorem viam quam prius exegerit, rurſus vehementer quietem cupit capere; illa vero cito adventans, et frutetum concutiens, leporem ſomnum capere non ſinit. Itaque is iterum excurrit, et illa non tardius inſequitur. Cum autem continenter ex alio alius curſus hunc vigiliis diu multumque fatigatum exceperit, currendo feſſus et laboribus ſuccumbit, et longius procedere deſiſtit; ipſa vero conſecuta eum ipſum non ſane curſu, ſed longinquitate temporis, et captioſa inveſtigatione comprehendit. Haec de leporis curſu alibi alio feſtinans dicenda diſtuleram; nunc aliud etiam de hoc animali opportune addam, ut ne ab inſtituto diſcedam. Foetus ſuos cum in plures locos lepus diſpergit, hoc pacto arbitratur a rapinis tutiores eſſe; nam ſummo in eos amore flagrat,

ΚΕΦ. ιά.

Τίνα τρόπον ὑπὸ τῶν Ἀλωπέκων οἱ Λαγῷ θηρῶνται.

Αἱροῦνται δὲ οἱ λαγῷ ὑπὸ ἀλωπέκων ἐνίοτε, οὐχ ἧττον δρόμῳ, ἀλλὰ καὶ μᾶλλον τέχνῃ· σοφὸν γὰρ ἀπαντᾶν ἀλώπηξ, καὶ δόλους οἶδεν. Ὅταν γοῦν νύκτωρ εἰς ἴχνος ἐμπέσῃ τοῦ λαγῶ, καὶ αἴσθηται τοῦ θηρίου, σιγῇ τε ἐπιβαίνει καὶ ποδὶ ἀψόφῳ, καὶ ἀναστέλλει τὸ ἆσθμα, καὶ καταλαβοῦσα ἐν τῇ κοίτῃ πειρᾶται αἱρεῖν, ὡς ἀδεᾶ καὶ ἄφροντιν. Ὁ δὲ οὐκ ἂν τρυφῶν οὐδὲ ῥαθύμως καθεύδει· ἀλλά τε ἅμα ᾔσθετο τοῦ ζῴου τοῦ προσιόντος, καὶ τῆς εὐνῆς ἐξεπήδησε, καὶ θεῖ· καὶ ὁ μὲν ἀνύει τὸν δρόμον, καὶ μάλα ὠκέως· ἡ δὲ ἀλώπηξ καὶ αὐτὴ κατ᾽ ἴχνος ἐστὶ, καὶ τοῦ δρόμου ἔχεται. Καὶ ὁ μὲν πολλὴν ὁδὸν διανύσας, ὡς ἤδη κρείττων, καὶ οὐκ ἂν ἁλοὺς, ἐμπεσὼν εἰς λόχμην ἀσμένως ἀναπαύεται· ἡ δὲ ἀλώπηξ ἐφίσταται, καὶ ἀτρεμεῖν οὐκ ἐπιτρέπει, πάλιν τε αὐτὸν ἐγείρει, καὶ εἰς δρόμον ἐξηνέμωσεν ἕτερον. Εἶτα οὐχ ἧττων τῆς προτέρας ὁδὸς καὶ δὴ διηνύσθη, καὶ ὁ μὲν ἀναπαύσασθαι διψᾷ πάλιν· ἡ δὲ ἐφίσταται, καὶ σείουσα τὸν θάμνον, ἀγρυπνίαν ἐνεργάζεται αὐτῷ. Ὁ δὲ πάλιν ἐκθεῖ, καὶ ἡ ἀλώπηξ οὐχ ὑστερεῖ. Συνεχέστερον δὲ ὅταν αὐτὸν δρόμος ἐκ δρόμου διαλάβῃ, καὶ ἀγρυπνία διαδέξηται, ὁ μὲν ἀπεῖπε καὶ μένει· ἡ δὲ ἐπελθοῦσα κατέσχεν αὐτὸν, οὐ μὰ Δία δρόμῳ, ἀλλὰ γὰρ τῷ χρόνῳ, καὶ τῷ δόλῳ καθελοῦσα. Ταῦτα μὲν οὖν ἄλλως προεκθέων ὁ λόγος ὑπὲρ τοῦ δρόμου τοῦ λαγῶ ἀναβέβληται, τὰ δὲ λοιπὰ ἐν τοῖς ἑπομένοις λέγειν εὐκαιρότερον· ὅθεν δὲ ἐξετραπόμην, καὶ μὴν ἐπάνειμι αὖθις. Ἦν δὲ ἄρα τοῦ διασπείρειν τὰ ἔγγονα, καὶ ἄλλο ἄλλῃ τρέφειν, αἰτία ἥδε· ἔστι μὲν ὁ λαγὼς φιλότεκνον δεινῶς, δέδοικε δὲ καὶ τὰς ἐκ τῶν

flagrat, neque a venaticis modo infidiis de illis timet, verum etiam vulpium incurfiones perhorrefcit: nec minus quidem avium impetus extimefcit, imprimis vero corvorum et aquilarum vocem metuit; cum his enim avibus nulla pace conjungitur, fed fefe abftrudit in dumeta, in aliave fruteta, aut cefpites, aut cum neceffitate urgetur, in quodvis aliud latibulum fe occultat.

C A P. XII.

Quod etiam mas Lepus parit.

De viro rei venatoriae bene perito, et cetera quam bono, et a mendaciis alieno, fermonem accepi, cui fidem habeo, ideoque dicetur. Dixit igitur mares lepores parere, et uno eodemque tempore tum alios implere, tum ex fefe parere, tum nutrire, quippe qui fint utriufque fexus participes. Idemque teftabatur aliquando duos, aliquando tres parere. Huc etiam addebat, marem femimortuum captum fuiffe, ipfius autem ventrem intumuiffe, utpote praegnantem, atque in diffecti utero matricem et tres lepufculos repertos fuiffe: eos primum extractos immobiles fuiffe, et veluti offas quafdam carnis fine motu jacuiffe; deinde a fole intepefcentes, feque colligentes, revixiffe; et eorum quendam poftea fe movere coepiffe, et fufpexiffe, confeftim etiam linguam porrexiffe, et cibi defiderio os aperuiffe; lac igitur iis admotum, et paulatim alitos fuiffe, verifimile eft, ad oftentandum parentem. Non poffum equidem mihi, ut huic narrationi non credam, perfuadere; quod viri illius fermo ab omni mendacio et oftentatione alienus fuerit.

θηρώντων ἐπιβουλὰς, καὶ τὰς ἐκ τῶν ἀλωπέκων ἐπιδρομάς· πέφρικέ γε μὴν καὶ τὰς ἐκ τῶν ὀρνίθων οὐχ ἧττον, φωνὴν δὲ κοράκων καὶ ἀετῶν μᾶλλον· πρὸς γὰρ δὴ ταῦτα τῶν πτηνῶν οὐκ ἔστιν αὐτῷ ἔνσπονδα, ὑποκρύπτει δὲ αὐτὸν ἢ θάμνῳ κομῶντι, ἢ γηδίῳ δασεῖ, ἤ τινα ἄλλην ἑαυτῷ προβάλλεται ἀναγκαίαν καὶ εὐμήχανον τὴν σκέπην.

ΚΕΦ. ιβ΄.

Ὅτι καὶ ἄῤῥην Λαγὼς τίκτει.

Θηρατοῦ δὲ ἀνδρὸς, καὶ τὰ ἕτερα ἀγαθοῦ, οἵου μὴ ἂν ψεύσασθαι, λόγον ἤκουσα, καὶ αὐτῷ πεπίστευκα· καὶ δὴ καὶ διὰ ταῦτα εἰρήσεται. Τίκτειν γὰρ δὴ καὶ ἄῤῥενας λαγὼς ἔλεγε, καὶ ἔχειν παιδοποιεῖσθαί τε ἅμα καὶ ὠδίνειν, ὡς τῆς φύσεως μὴ ἀμοιρεῖν ἑκατέρας, καὶ ὡς ἐκτρέφει τεκὼν ἔλεγε. Καὶ ὡς ἀποτίκτει καὶ δύο που καὶ τρία, καὶ τοῦτο ἐμαρτύρει. Καὶ δὴ καὶ τὸν κολοφῶνα ἐπῆγε τῷδε τῷ λόγῳ πάντη ἐκεῖνον, θηραθῆναι γὰρ λαγὼ ἄῤῥενα ἡμιθνῆτα, ἐξογκωθῆναι δὲ αὐτοῦ τὴν γαστέρα ἅτε ἔγκαρπον, ἀνατμηθῆναί τε αὐτὸν ὡμολόγει, καὶ μήτραν πεφωρᾶσθαι, καὶ τρεῖς λαγώς· τούτους οὖν ἀκινήτους τέως εἶναι ἐξαιρεθέντας, καὶ κεῖσθαι οἱονεὶ κρέα ἄλλως· ἐπεὶ δὲ ὑπὸ τοῦ ἡλίου ἀλεαινόμενοι καὶ δὴ κατὰ μικρὰ ὑποθαλπόμενοι ἐξέτριψαν, ἀναφέροντες ἑαυτοὺς ἀνεβιώσκοντο· καί πού τις αὐτῶν καὶ ἐκινήθη, καὶ μετὰ ταῦτα ἀνέβλεψε, τάχα δὲ καὶ γλῶτταν ἐπὶ τούτοις προὔβαλε, καὶ στόμα ἀνέῳξε τροφῆς πόθῳ· προσενεχθῆναι οὖν αὐτοῖς ἦν εἰκὸς τοῖς τηλικούτοις γάλα, καὶ κατ᾽ ὀλίγον ἐκτραφῆναι αὐτοὺς, καὶ δεῖγμα ἐμοὶ δοκεῖν εἰς θαῦμα τοῦ τεκόντος τούτους. Μὴ πιστεύειν οὖν τῷ λόγῳ πεῖσαι ἐμαυτὸν οὐ δύναμαι· τὸ δὲ αἴτιον, ἡ τοῦ ἀνδρὸς γλῶττα οὔτε ψεῦδος οὔτε κόμπον ἠπίστατο.

CAP. XIII.

Quod tempora et ventos Lepus cognoſcit.

RATIONEM tum ventorum tum temporum lepus plane ſcit, animal callidius quam blandius. Hieme apricis locis cubilia idcirco ſternit, quod apricationem vehementem appetit, frigus hoſtilem in modum declinat; aeſtate vero alſioris ſedis ſtudio captus ad aquilonem cubitat. Temporum commutationes nares ei indicant. Non oculos claudit, cum ſomnum capit, ſolus animalium, nec ſomno ejus palpebrae cedunt; imo vero cum reliqua membra ſomnum accipiunt, interea tamen oculi vident. Dico autem ea, quae a viris rei venatoriae peritis intellexi. In paſtionibus tum nocturnis tum longinquis pabulum inquirit, ſive quod forte peregrini cibi deſiderio tenetur, ſive etiam, quantum equidem intelligo, ut ſe exerceat, et pedum celeritatem etiam noctu (dum abſtinet ſomno) firmet. Viam retroverſus pertinentem cupide amplexatur, et conſuetam ſedem omnibus locis antefert; eoque non parum ſaepe capitur, quod adſuetum cubile relinquere non poſſit.

CAP. XIV.

De Leporum velocitate montanorum et campeſtrium.

LEPVS, quem canes et equi inſectantur, ſi campeſtris ſit, celeriore et concitatiore curſu, quam montanus, viam conficit, propter corporis exiguitatem, et tenuitatem; cum enim gracili habitu ſit, ipſum levitate et celeritate praeſtare vero proximum eſt. Primum igitur ex terra exſiliens ſaltu fertur, et per dumeta aliave denſiora virgulta et rigua loca expeditus perlabitur; tum vero ſicubi herbae ſint altae et frequentes, ex eis facile ſeſe explicat atque elabitur. Ac quod leoni caudam ad excitandas et inſtigandas eorum vires magno adjumento eſſe dicunt; ſic lepori aures roboris quaſi vexilla, et curſus incitamenta praeſtant. Fugiens

ΚΕΦ. ιγ'.

Ὅτι καὶ ὡρῶν καὶ ἀνέμων ἐπισήμων ὁ Λαγώς.

ΗΝ δὲ ἄρα ὁ λαγὼς καὶ ἀνέμων τε καὶ ὡρῶν ἐπισήμων, σοφὸν γάρ τι χρῆμα αὐτοῦ, ἀλλ' οὐκ εὔχαρι ὄν. Ἐν χειμῶνος οὖν κοίτων ἐν τοῖς προσηλίοις τίθεται, δῆλα γὰρ δὴ ὅτι θάλπεται μὲν ἀσμένως, κρύει δὲ ἐχθρῶς ἔχει· θέρους δὲ πρὸς ἄρκτον ἀποκλίνει πόθῳ ψύχους. Τῆς δὲ τῶν ὡρῶν διαφορᾶς αἱ ῥῖνες αὐτῷ γνώμων. Οὐ μὴν ἐπιμύει καθεύδων ὁ λαγὼς, καὶ τοῦτο αὐτῷ ζώων μόνῳ περίεστιν, οὐδὲ νικᾶται τῷ ὕπνῳ τὰ βλέφαρα· φασὶ δὲ αὐτὸν καθεύδειν μὲν τὸ σῶμα, τοῖς δὲ ὀφθαλμοῖς τηνικάδε ὁρᾷν. Γράφω δὲ, ἅπερ οὖν οἱ σοφοὶ τῶν θηρατῶν λέγουσιν. Εἰσὶ δὲ αὐτῶν νύκτωρ αἱ νομαὶ, τοῦτο πόῤῥω μὲν καὶ τροφῆς ξένης ἐπιθυμίᾳ ἴσως, ἐγὼ δ' ἂν φαίην ὅτι γυμνασίας ἕνεκα, ἵνα καὶ τηνικάδε, ἐπὰν ἀπὸ τοῦ ὕπνου καρτερῇ, ἐνεργὸς ὢν κρατύνηται τὸ τάχος. Τῆς δὲ ὁδοῦ τῆς ὀπίσω ἐρᾷ δεινῶς, καὶ συντρόφου παντὸς χωρίου ἡττᾶται· ἔνθεν τοι καὶ ἁλίσκεται τὰ πολλὰ, ἤθη τὰ οἰκεῖα ἐκλιπεῖν οὐχ ὑπομένων.

ΚΕΦ. ιδ'.

Περὶ Λαγωῶν ὠκύτητος ἐν ὄρει καὶ ἐν πεδίῳ τραφέντων.

ΘΕΙ δὲ λαγὼς ὑπό τε κυνῶν καὶ ἱππέων διωκόμενος, εἰ μὲν ἐκ πεδιάδος γῆς εἴη, ὠκύτερον τῶν ὀρείων λαγῶν, ἅτε μικρὸς τὸ σῶμα, καὶ λιτός· ἔνθεν τοι καὶ κοῦφον αὐτὸν εἶναι οὐκ ἀπεικός. Σκιρτᾷ γοῦν τὰ πρῶτα ἀπὸ τῆς γῆς, καὶ πηδᾷ· διαδύεται δὲ καὶ διὰ θάμνων ὀλισθηρῶς καὶ εὐκόλως, καὶ διὰ παντὸς ἑλώδους τόπου· καὶ εἴπου πόαι βαθεῖαι, καὶ διὰ τούτων διεκπίπτει ῥᾳδίως. Καὶ ὅπερ τοῖς λέουσί φασι τὴν ἀλκαίαν δύνασθαι πρὸς τὸ ἐγείρειν αὐτοὺς, καὶ ἐποτρύνειν· τοῦτό τοι καὶ ἐκείνῳ τὰ ὦτά ἐστι ῥώμης συνθήματα, καὶ ἐγερτήρια δρόμου.

Ἀνα-

giens enim ad tergum eas retorquet; ſtimulis etiam utitur, ne a currendo quieſcat et retardetur. Iam porro curſum nec unum nec recta tenet, ſed huc illuc ſe verſat, et de recto curſu deflectit, ut perturbet ac decipiat canes. Ad id quidem diverticulum, quo vult iter convertere, de auribus alterutram inflectit, eaque quaſi moderatrice curſum dirigit. Neque vero improvide omnes ſuarum virium nervulos prodigit, ſed impetum inſequentis obſervat: qui ſi ad inſequendum tardus et ſegnis ſit, non omnem ſuam celeritatem profundit; ſed duntaxat canes antegredi maturans ſeſe a currendo reprimit, ne ex incitato curſu viribus deficiat. Penitus enim cognoſcit ſe curſu praeſtare, et obſervat tempus, quo curſu defatigare non habet neceſſe. Quod ſi pedum celeritate canis ad conficiendum iter pollet, tum omnibus revocatis viribus lepus, quanto maximo poteſt curſu, fertur. Cum autem longe multumque canibus anteverterit, et longo ſane intervallo venatores atque equos reliquerit; tum in aliquem tumulum adſcendit, et in poſteriores pedes ſeſe erigens, tanquam ex ſpecula, et inſectantium certamen proſpicit, et, quantum equidem exiſtimo, eos ut debiliores ridet. Et ita hoc veluti lucro confidentior, veluti pacem tranquillitatemque adeptus, jucunde quietem captus dormit. Montium incolae non tam veloces, quam qui in planitie verſantur, niſi quando ſub montem ſubjectos habent tractus in planitiem explicatos, quo ex montibus decurrant; unde fit, ut tametſi montes incolant, tamen in campis ſe exerceant, unde ſaepe campani homines eos excitant atque inſequuntur. Cum autem proximi ſunt ut capiantur, a campeſtri via parum declinantes in altiores locos et montanos ſe convertunt, in ſuas nimirum ſedes feſtinantes, idcircoque evadunt, et inſperatam ſalutem adſequuntur; quod canibus et equis montium itinera infeſta atque inimica pedes obterunt et debilitant; ſed eo acerbius canes vexantur, quod carneos

Ἀνακλίνει γοῦν κατὰ τὸν νῶτον αὐτά· κέχρηται δὲ αὐτοῖς πρὸς τὸ μὴ ἐλινύειν, μηδὲ ὀκνεῖν οἷον μύωψι. Δρόμον δὲ ἕνα καὶ ἰθὺν οὐ θεῖ, δεῦρο δὲ καὶ ἐκεῖσε παρακλίνει, καὶ ἐξελίττει τῇ καὶ τῇ, ἐκπλήττων τοὺς κύνας καὶ ἀπατῶν. Ὁποί ποτε δ' ἂν ὁρμήσῃ καὶ ἀπονεῦσαι θελήσῃ, κατ' ἐκείνην τὴν ἐκτροπὴν κλίνει τῶν ὤτων τὸ ἕτερον, οἷον ἰθύνων ἑαυτοῦ διὰ τούτου τὸν δρόμον. Οὐ μὴν ἀναλίσκει τὴν ἑαυτοῦ δύναμιν ἀταμιεύτως, τηρεῖ δὲ τοῦ διώκοντος τὴν ὁρμήν· καὶ ἐὰν μὲν ᾖ νωθὴς, οὐ πάνυ ἀνῆκε τὸ ἑαυτοῦ τάχος· ἀλλὰ καί τι καὶ ἀνέστειλεν, ὡς προεκθεῖν μὲν τοῦ κυνὸς, οὐ μὴν ἀπαγορεῦσαι ὑπὸ τοῦ συντόνου τοῦ δρόμου αὐτός. Οἶδε γὰρ ἀμείνων ὢν, καὶ ὁρᾷ εἰς τὸ μὴ ὑπερπονεῖσθαί οἱ τὸν καιρὸν ὄντα. Ἐὰν δὲ καὶ ὁ κύων ᾖ ὤκιστος, τηνικαῦτα ὁ λαγὼς φέρεται θέων ᾗ ποδῶν ἔχει. Ἤδη γοῦν καὶ πολὺ τῆς ὁδοῦ προλαβὼν, καὶ ἀπολιπὼν ἐκ πολλοῦ θηρατὰς, καὶ κύνας, καὶ ἵππους, ἐπί τινα λόφον ὑψηλὸν ἀναθορὼν, καὶ ἑαυτὸν ἀναστήσας ἐπὶ τῶν κατόπιν ποδῶν, οἷον ἀπὸ σκοπιᾶς ὁρᾷ τὴν τῶν διωκόντων ἅμιλλαν, καί μοι δοκεῖ ὡς ἀσθενεστέρων καταγελᾷν αὐτῶν. Εἶτα ἐκ τούτου θαρσήσας ὡς πλέον ἔχων, οἷον εἰρήνης καὶ γαλήνης λαβόμενος, ἀσμένως ἡσυχάζει καὶ κεῖται καθεύδων. Λαγῳ δὲ ὄρειοι οὐχ οὕτως ταχεῖς, ὥσπεροῦν οἱ τοῖς πεδίοις ἐνοικοῦντες, εἰ μή ποτε ἄρα κἀκεῖνοι πεδίον ἔχοιεν ὑποκείμενον, ἐν ᾧ κατιόντες διαθέουσι· καὶ τὸ μὲν ὄρος κατοικοῦσι, γυμνάζονται δὲ ἐνταῦθα, ἔνθεν τοι τοῖς ἐκ τῶν πεδίων πολλάκις· φιλεῖ γοῦν ἐν μὲν τοῖς πεδίοις αὐτοὺς διώκεσθαι, καὶ τὰ μὲν ὑποκινεῖν, τὰ δὲ ὑπολανθάνειν, εἶτα ἐκ τῆς συνήθους διώξεως ἀνισταμένους ὑπεκφυγεῖν οὐδείς. Ἐπὰν δὲ ὦσιν ὁμοῦ τῷ ἁλίσκεσθαι, τῆς πεδιάδος ὁδοῦ βραχὺ ἀποκλίνοντες εἰς τὰ ἀνάντη καὶ τὰ ὄρεια ἀνέθορον, ἅτε εἰς οἰκεῖα ἤθη καὶ ἐννόμιά σφισι σπεύδοντες· καὶ τοῦτον τὸν τρόπον ἀπιόντες οἴχονται, καὶ ἀδοκήτου σωτηρίας τυχόντες· ὀρειβασίαι γὰρ καὶ ἵπποις καὶ κυσὶν ἐχθραὶ πεφύκασιν, ἀπαγορευόντων αὐτοῖς τῶν ποδῶν καὶ ἐκτριβομένων ῥᾷστα· κυνῶν δὲ ἔτι καὶ μᾶλλον ἅπτεται τὸ πάθος, σαρκώδεις

neos pedes ſaxis minime reſiſtentes, nec quemadmodum equi ungulas habent; contra lepus conveſtitos pilis pedes habet, et duritatis et aſperitatis patientes. Iam ex leporibus, qui in crebris dumetorum frequentia locis commorantur, laboris inertia ſegnes ad curſum velocitate non valent, ex pedum tarditate ad fugiendum laborantes; nam hujuſcemodi opimo habitu, et ceſſatione torpentes, curſui non adſueti ſunt, et ad proficiſcendum longiſſime a ſuis frutetis inhabiles. Ipſorum ratio venandorum talis eſt: Primum per frutices perparvulos et minime continenti crebritate denſos permeant; denſiores vero, qui ſubiri non poſſunt, tranſiliunt; at ubi fruticetum ex alio nexum latiſſime continuatur, ibi hoc ipſum crebro facere coacti cum ſint, corporis gravitate ad ſaltum parum valentes, ſane quam cito laborant, et ſuccumbunt. Canes vero ab eis ipſis primum aberrant, quod propter minutarum arbuſcularum frequentiam eos non vident, quare et ipſi per frutices ſaliunt odoris ſenſu illecti; deinde tandem aliquando viſos inſequuntur, de contentione currendi nil remittentes: illi autem ipſi ex continuatione ſaliendi ad capiendam fugam longiorem remolleſcunt, et viribus defecti comprehenduntur. Porro ut facile ſurſum verſus curſu feruntur lepores, quia poſteriora crura longiora habent; ſic ſane deorſum verſus aegre ideo decurrunt, quia anteriora, cum ſint breviora, eos affligent.

C A P. XV.

De Leporibus in Hiſpania; et de oſſiculo, quod Cervi in corde habent.

ALIVD eſt etiam genus leporum natura perparvum, nec tamen augetur unquam, cui cuniculus nomen eſt: quod quidem ipſum novatum a me non eſt, ſed Iberico utor, quod a principio Hiſpani ei impoſuerunt, apud quos naſcitur et abundat. Color

γὰρ αὐτῶν εἰσιν οἱ πόδες, καὶ ἔχουσιν οὐδὲν πρὸς τὴν πέτραν ἀντίτυπον, ὡς ἵπποι τὴν ὁπλήν· ὁ δὲ λαγὼς τοὐναντίον, πέφυκε γὰρ δασὺς τοὺς πόδας, καὶ δὴ καὶ τῶν τραχέων ἀνέχεται. Ὄντω δέ εἰσι λαγῷ αἵτε ἐν τοῖς δάσεσι καὶ τοῖς θάμνοις διατριβαὶ, νωθεῖς μὲν οὗτοι εἰς τὸν δρόμον, βραδεῖς δὲ εἰς τὴν φυγήν· πεπιασμένοι γὰρ οἱ τοιοίδε εἰσὶ, καὶ ὑπὸ τῆς ἀργίας οὐχὶ ἠθάδες τοῦ δρόμου, ἥκιστοί τε ὡς ὅτι πορρωτάτω τῶν θάμνων ἀποφοιτᾷν. Θῆραι δὲ καὶ τούτων εἰσὶ τοιαίδε· Τὰ μὲν πρῶτα διαδύονται διὰ τῶν θάμνων τῶν μικρῶν, ὅσοις μὴ συνεχὴς ἡ λόχμη· τούς γε μὴν δασυτέρους αὐτῶν, ἅτε μὴ οἷοί τε ὄντες ὑπελθεῖν, εἰκότως ὑπερπηδῶσι· πεφύκασι δὲ οὗτοι συνεχεῖς καὶ δι' ἀλλήλων, ὅπου τοιοῦτοι, ἅτε οὖν πολλάκις ἀναγκαζόμενος τοῦτο δρᾷν ὁ λαγὼς, καὶ διὰ τὴν βαρύτητα τὴν τοῦ σώματος οὐκ ὢν ἀλτικὸς, κάμνει ῥᾷστα καὶ ἀπαγορεύει. Αἵγε μὴν κύνες τὰ πρῶτα σφάλλονταί τε αὐτοῦ καὶ ἁμαρτάνουσιν, οὐ γὰρ ὁρῶσιν αὐτὸν διὰ τὴν τῆς ὕλης πυκνότητα, πηδῶσι δὲ καὶ αὗται κατὰ τῶν θάμνων ὑπὸ τῆς ὀσμῆς ἀγόμεναι· τελευτῶσαί γε μὴν εἶδον, καὶ διώκουσι, καὶ ἐνδιδόασιν οὐδέν· ὁ δὲ ἐκ τῆς τοῦ πηδᾷν συνεχείας κάμνει τε καὶ ἀπαγορεύει, καὶ ἐντεῦθεν ἑάλωκε. Τὰ δὲ ἀνάντη μὲν καὶ ὑψηλὰ οἱ λαγῷ ἀναθέουσι ῥᾷστα· τὰ γάρ τοι κατόπιν κῶλα μακρότερα ἔχουσι τῶν ἔμπροσθεν, καὶ καταθέουσιν οὐχ ὁμοίως, λυπεῖ γὰρ αὐτοὺς τῶν ποδῶν τὸ ἐναντίον.

ΚΕΦ. ιέ.

Περὶ τῶν ἐν Ἴβηρσι τοῖς Ἑσπερίοις Λαγωῶν· καὶ περὶ τοῦ τῶν Ἐλάφων ἐν τῇ καρδίᾳ ὀστέου.

Πέφυκε δὲ καὶ λαγὼς ἕτερος μικρὸς τὴν φύσιν, οὐδὲ αὔξεταί ποτε, κόνιλος ὄνομα αὐτῷ· οὐκ εἰμὶ δὲ ποιητὴς ὀνομάτων, ὅθεν καὶ ἐν τῇ συγγραφῇ φυλάττω τὴν ἐπωνυμίαν τὴν ἐξ ἀρχῆς, ἥνπερ οὖν Ἰβηρίαν Ἑσπέριοι ἔθεντό οἱ πάρος, καὶ γίνεταί τε καὶ ἔστι πάμπολυ. Τούτῳ τοίνυν ἡ μὲν χρόα παρὰ

lor ei quam ceteris nigrior: et caudam ceteris breviorem habet, cetera reliquis leporibus confimilis eſt; praeterquam quod magnitudo capitis quippiam differt, quia exilius ſit, et minima carne praeditum ac brevius reliqui corporis reſpectu. Reperitur et in cervi corde oſſiculum, cujus uſum referant alii.

C A P. XVI.

Quemadmodum Thynnorum piſcationem appellant Itali et Siculi.

THYNNORVM piſcationem Itali et Siculi cetiam appellare ſolent: tum loca, quo magna retia reponere ſoliti ſunt, ceterumque inſtrumentum, quo captari aſſueverunt, cetotheria ideo nominant, quod magnos thynnos in numerum reliquorum ceteorum referre velint. Celtas audio, et Maſſilienſes, atque omnes Ligures, maximis et firmiſſimis hamis ex ferro confectis thynnos comprehendere ſolere. Haec de thynnis, praeter ea quae alias retuli, hic addiderim.

C A P. XVII.

De Aulopia piſce.

QVI circum inſulas Tyrrhenicas nuncupatas piſcium capturae operam dant, cetaceum quempiam piſcem aulopiam appellant, cujus naturam explicare non alienum eſt. Aulopiam maximi thynni ſuperant, at robore aulopias cum illis collatus primas fert. Quamvis enim thynnorum natio fortiſſima eſt, adverſarii tamen aulopiae prompte repugnantis ne primum quidem impetum ſuſtinet;

τὰς ἑτέρας μέλαινα, καὶ ὀλίγην ἔχει τὴν ἐρὰν τῶν ἄλλων ὅτι καὶ πλέον, τάγε μὴν λοιπὰ τοῖς προειρημένοις ἰδεῖν ἐμφερής ἐστι· διαλλάττει δὲ ἔτι καὶ τὸ τῆς κεφαλῆς μέγεθος, λεπτοτέρα γάρ ἡ τούτου καὶ δεινῶς ἄσαρκος, καὶ βραχυτέρα, δηλονότι κατὰ τὸ πᾶν σῶμα, λευκότερος δὲ τῶν λοιπῶν· λασαρὰ διέστησιν φύσει, ἀφ' ὧν οἰστρᾶ τε καὶ ἐκμαίνεται, ὅταν ἐπὶ τὰς θηλείας ἄττη. Ἔστι δὲ καὶ ἐλάφῳ ὀστέον ἐν τῇ καρδίᾳ αὐτῇ, ὅπερ οὖν τίνος ἀγαθοῦ εἰδέναι μελήσει ἄλλῳ.

ΚΕΦ. ιϛ´.

Πῶς καλοῦσι τὴν τῶν Θύννων θήραν Ἰταλοί τε καὶ Σικελοί.

ΤΗΝ τῶν θύννων θήραν Ἰταλοί τε καὶ Σικελοὶ δὲ κητίαν φιλοῦσιν ὀνομάζειν· τάτε χωρία, ἔνθα αὐτοῖς εἴωθε θησαυρίζεσθαι τάτε δίκτυα τὰ μεγάλα, καὶ ἡ λοιπὴ παρασκευὴ θηρατική, καλεῖται μέντοι κητοθηρία, τοῦ θύννου τὸ μέγεθος ἐς τὰ κήτη βουλομένων τὸ λοιπὸν ἀποκρίνειν. Ἀκούω δὲ Κελτούς, καὶ Μασαλιώτας, καὶ τὸ Λιγυστικὸν πᾶν, ἀγκίστροις τοὺς θύννους θηρᾶν, εἴη δ' ἂν ταῦτα ἐκ σιδήρου μὲν πεποιημένα, μέγιστα δὲ καὶ παχέα ἰδεῖν. Καὶ τάγε ὑπὲρ τῶν θύννων νῦν πρὸς τοῖς ἤδη προειρημένοις τοσαῦτα ἔστω μοι.

ΚΕΦ. ιζ´.

Περὶ τοῦ καλουμένου Αὐλωπίου ἰχθύος.

ΠΕρὶ τὰς καλουμένας νήσους Τυῤῥηνικὰς θηρῶσιν οἱ κατὰ τὴν ἁλιείαν ἔχοντες τὴν ἐκεῖθι κητώδη ἰχθὺν, καὶ καλοῦσιν αὐτὸν αὐλωπίαν, καὶ περιηγήσασθαί γε τούτου τὰ ἴδια οὐ χεῖρόν ἐστι. Μέγεθος μὲν ἡττᾶται τῶν μεγίστων θύννων ὁ μέγιστος αὐλοπίας, ῥώμην τε καὶ ἀλκὴν τὰ πρῶτα φέροιτο ἂν πρὸς ἐκείνους ἀντικρινόμενος. Ἄλκιμον μὲν γάρ ἰχθύων φῦλόν ἐστι καὶ οἱ θύννοι, ἀλλὰ τῷ παραταξαμένῳ καὶ προθύμως ἀνταγωνισαμένῳ.

tinet; ſed ſanguine ei refrigerato cedit, unde reſolutus mox vincitur. Aulopias vero, cum omni conatu ei reſiſtit, perdiu pugnam tolerat; ac nimirum contra piſcatores quoque decertat, et ſaepiſſime victoriam reportat, ſeſe premens, et capite deorſum nutans, idque in profundum impellens; ore enim ac cervice valida, velutique ſuperbiente, et robore plurimum valet. Cum eſt captus, eximia forma ſpectatur; oculis eſt patulis, rotundis, magnis, cujuſmodi Homerus bubulos canit; maxillae non ſolum robuſtae, ut dixi, ſunt, ſed etiam pulchritudinem ei conciliant; dorſo eſt caeruleo, coloris ſaturati; ventre eſt candido; a capite ad caudam pertinens aurea quaedam linea in orbem deſinit. Iam quam inſidioſis captionibus comprehendatur, mihi, ſicut auditione accepi, exponere lubet. Piſcatores loca, ubi domeſticas ſedes et commorationes arbitrantur aulopias tenere, ex ſpeculatione praecipiunt et praeſumunt; deinde poſtquam permagnum piſcium coracinorum numerum retibus ceperunt, et navem ſuam anchoris firmaverunt, ſtrepitum quendam more veſparum faciunt, et coracinos ad illiciendos eos praetendunt. Vbi vero ii ſtrepitum exaudierunt, et eſculentam illecebram animadverterunt, alii aliunde eo ire pergunt, et gregatim circum navim piſcatoriam errant; atque eatenus et plauſu et cibi abundantia ad piſcatores manſueſcunt, ſive meo judicio eſcae cupiditate capti, ſive quemadmodum piſcatores inquiunt, ſuo permulto robore nitentes, ut non ab hominum contactu refugiant. Nonnulli ex eis cicures ſunt, quos ſane piſcatores ut beneficos ab aliis internoſcunt, foedereque cum iis devinciuntur, pacemque ſervant. Hos tanquam duces ſectantur alii peregrini aulopiae, quos, ut ita dicam, advenas piſcatores et capiunt et occidunt; ita a manſuetiorum, quos columbis allectatricibus contulerim, captura ſe abſtinent, quaſi foedus quoddam

γωνισαμένῳ πρώτην ὁρμὴν ἀφίσταται τοῦ κράτους, τοῦ αἵματος αὐτῷ πηγνυμένου, οὐ περιέμενος ὤκιστα εἶτα ἑάλω. Διακαρτερεῖταί γε μὴν ὁ αὐλωπίας ἐπὶ μακρὸν, ὅταν ἐπιθῆταί οἱ κατὰ τὸ καρτερόν· ϗ ὡς πρὸς ἀντίπαλον ἵσταται τὸν ἁλιέα, ϗ κρατεῖ τὰ πλεῖστα, ϗ ἔτι μᾶλλον ἑαυτὸν πιέσας, ϗ κάτω νεύσας τὴν κεφαλὴν, ϗ ὠθήσας κατὰ τοῦ βυθοῦ· πέφυκέ τε γένυν ἰσχυρῶς ϗ τὸν αὐχένα καρτερὸν, ὥσπερ οὖν ϗ συντύφοντά οἱ, ϗ ῥώμης ἔχει κάλλιστα. Ὅταν δὲ αἱρεθῇ, ἰδεῖν ὡραιότατός ἐστι· τοὺς μὲν ὀφθαλμοὺς ἔχων ἀνεῳγότας, ϗ περιφερεῖς, ϗ μεγάλους, οἵους Ὅμηρος τοὺς τῶν βοῶν ᾄδει· ἡ δὲ γένυς, ὥσπερ οὖν εἶπον, καρτερὰ οὖσα, ὅμως ϗ ἐς ὥραν οἱ συμμάχεται· ϗ τὰ μὲν νῶτα αὐτοῦ κυανοῦ μεμίμηται χρόαν τὴν βαθυτάτην· ὑπέζωσται μὲν λευκὴν τὴν νηδύν· ἄρχεται δὲ ἀπὸ τῆς κεφαλῆς αὐτοῦ γραμμὴ χρυσῖτις τὴν χρόαν, καθοῦσα δ' ἐς τὸ οὐραῖον μέρος, ἀπολήγει εἰς κύκλον. Εἰπεῖν δὲ ϗ τὴν δολερὰν ἐπ' αὐτοῖς θήραν, ἥνπερ οὖν ἀκούσας οἶδα, ἐθέλω. Προελόμενοι χώρους ἐκ πολλοῦ, εἰς οὓς ἀθροίζεσθαι τοὺς αὐλωπίας ὑπολαμβάνουσιν, εἶτα μέντοι κορακίνους ταῖς ὑποχαῖς πολλοὺς συλλαβόντες, τὴν ἑαυτῶν ἄκατον ἐπ' ἀγκυρῶν ὁρμίσαντες, ϗ συνεχῶς κτύπον τινὰ ὑποδρῶντες, διατείνουσι τοὺς κορακίνους ἅμα σφηκοῦντες. Οἱ δὲ ἀκούοντες τοῦ κτύπου, ϗ τὸ δέλεαρ ὁρῶντες, ἄλλος ἀλλαχόθεν ἀνανεύουσι, ϗ ἀθροίζονταί τε ϗ περιέρχονται τὴν ἁλιάδα· πραΰνονταί τε ἐς τοσοῦτον τῷ κρότῳ, ϗ πλήθει τῆς τροφῆς, ὡς ϗ προτεινόντων τὰς χεῖρας παραμένειν· ἀνέχονται δὲ ἀνθρωπίνης ἐπιψαύσεως, ὡς μὲν κρίνειν ἐμὲ, τῇ βορᾷ δεδουλωμένοι, ἤδη δὲ, ὡς οἱ θηρατικοί φασι, ϗ τῷ πλήθει τῆς ἀλκῆς. Εἰσὶ δὲ ἐν αὐτοῖς ϗ χειροήθεις, οὕσπερ οὖν οἱ ἁλιεῖς ὡς τοὺς εὐεργέτας ϗ τοὺς ἄλλους γνωρίζουσιν, εἶτα μέντοι τὰ πρὸς ἑαυτοὺς ἔχουσιν ἔνσπονδα. Ἕπονται δὲ τούτοις οἷον ἡγεμόσι ϗ ἄλλοι ξένοι, ϗ τούτους μὲν, ὡς ἂν εἴποι τις, ἐπήλυδας ϗ θηρῶσιν, ἢ ἀποκτείνουσι· πρός γε μὴν τοὺς τιθασσοὺς, οἵγε μὴν ἐοίκασι ταῖς παλευτρίαις πελειάσιν,

ἀθηρία

dam cum iis sancitum habentes. Nec vero piscator bene peritus, quantalibet inopia prematur, mansuetum aulopiam prudens et sciens comprehendit; quinimo si eum ipsum forte ceperit, non mediocri dolore afficitur. Capitur aut hamo transfixus, aut mortifero vulnere ictus. Videmus etiam aucupes nullas aves, quae alias per insidias allectant, occidere, ut eas vel vendant, vel edant. Sed et aliis modis hi pisces capiuntur.

C A P. XVIII.

De Psittacis, aliisque avibus, in India.

In regiis aedibus Indiae, ubi regum maximus illic regna tenentium aetatem degit, cum alia permulta et magnam hominum admirationem, et nullam comparationem habent, quibuscum sane nec Memnonia Susa, totaque eorum sumptuositas conferri possunt, neque Ecbatanorum magnificentia (etenim illa Persici fastus vanitas, si cum iis comparentur, videri possint) tum porro in hortis pavones et phasiani mansueti aluntur, et plantae quidem summa regiorum procuratorum cura elaboratae sunt. Enimvero umbrosa sunt nemora, et pastiones arboribus consitae, et rami sapienti quadam frondatorum colligatione conserti et contexti; et, quod praecipue ad coeli illius commendationem facit, arbores semper virentes nulla senectute folia amittunt, ex eisque partim sunt indigenae, partim ex aliis locis Indiae magno studio importatae, quae regionem ornant; olivam tamen terra India non gignit, neque aliunde importatum fert. Sunt item aliae aves ab nexu liberae, nullaque servitutis conditione adstrictae, quae sua sponte eo ventitantes nidos construunt; ibi etiam psittaci aluntur, et sursum deorsum, ultro citroque, circum regem versantur. Nec psittacum idcirco Indorum quisquam, etsi eorum magna illic multitudo sit, edit; quia eos sacros putent, et Brachmanes quidem

ex

ἀθηρία τε αὐτοῖς ἐστι, καὶ ἐκεχειρία. Οὐδ᾽ ἂν ἁλιέα σοφὸν τοσαύτη ποτὲ καταλάβοι ἀπορία, ὡς ἐξ ἐπιβολῆς ἑλεῖν αὐλωπίαν ἥμερον· ἐκ γάρ τινων αἰτιῶν αἱρεθεὶς κατὰ τύχην καὶ λυπεῖ. Ἁλίσκεται δὲ ἢ τῷ ἀγκίστρῳ περιπαρείς, ἢ τρωθεὶς εἰς θάνατον. Ὁρῶμεν δὲ καὶ τοὺς ὀρνιθοθήρας μὴ ἂν τῶν ἐλλοχώντων ὀρνίθων ἑτέρους ἀποκτείναντάς τινας, ἢ ἐπὶ πράσει, ἢ ἐπὶ δείπνῳ. Καὶ ἄλλαι δὲ θῆραι τῶνδε τῶν ἰχθύων εἰσί.

ΚΕΦ. ιή.

Περὶ τῶν ἐν Ἰνδοῖς Ψιττακῶν, καὶ λοιπῶν ὀρνίθων.

ΕΝ δὲ τοῖς βασιλείοις τοῖς Ἰνδικοῖς, ἔνθα ὁ μέγιστος τῶν βασιλέων διαιτᾶται τῶν ἐκεῖθι, πολλὰ μὲν καὶ ἄλλα ἐστὶ θαυμάσαι ἄξια, ὡς μὴ αὐτοῖς ἀντικρίνειν μήτε τὰ Μεμνόνια Σοῦσα καὶ τὴν ἐν αὐτοῖς πολυτέλειαν, μήτε τὴν ἐν τοῖς Ἐκβατάνοις μεγαλουργίαν (ἐοίκασι γὰρ κόμπος εἶναι Περσικὸς ἐκεῖνος, εἰ πρὸς ταῦτα ἐξετάζοιτο) καὶ τὰ λοιπὰ μὲν περιελθεῖν τῷ λόγῳ οὐ διὰ τῆσδε τῆς συγγραφῆς ἐστιν· ἐν δὲ τοῖς παραδείσοις τρέφονται μὲν καὶ ταὼς ἥμεροι, καὶ χειροήθεις φασιανοί· ἔχουσι δὲ ἐν τοῖς φυτοῖς τοῖς ἠσκημένοις, ἅπερ οὖν οἱ μελεδωνοὶ οἱ βασίλειοι τῆς δεούσης ἀξιοῦσι κομιδῆς. Καὶ γάρ εἰσιν ἄλση σκιερά, καὶ νομὴ σύμφυτος, καὶ κλάδη δι᾽ ἀλλήλων συνυφασμένα σοφίᾳ τινὶ δενδροκομικῇ· καὶ τὸ σεμνότερον τῆς ὥρας τῆς ἐκεῖθι, τὰ δένδρα αὐτὰ τῶν ἀειθαλῶν ἐστι, καὶ οὔποτε γηρᾷ, καὶ ἀποῤῥεῖ τὰ φύλλα, καὶ τὰ μὲν ἐπιχώριά ἐστι, τὰ δὲ ἀλλαχόθεν σὺν πολλῇ κομισθέντα τῇ φροντίδι· ἅπερ οὖν κοσμεῖ τὸν χῶρον καὶ ἀγλαΐαν δίδωσι, πλὴν ἐλαίας· οὐ γὰρ αὐτὴν ἡ Ἰνδῶν φέρει, οὔτε αὐτή, οὔτε ἥκουσα ἀλλαχόθεν τρέφειν. Ὄρνιθες οὖν καὶ ἕτεροι ἐλεύθεροι, καὶ ἀδούλωτοι, καὶ ἐλθόντες αὐτομάτως ἔχουσι κατὰ ταὐτὸν κοίτας καὶ εὐνάς· ἐνταῦθά τοι καὶ οἱ ψιττακοὶ τρέφονται, καὶ εἰλοῦνται περὶ τῷ βασιλεῖ. Σιτεῖται δὲ Ἰνδῶν οὐδεὶς ψιττακόν, καίτοι παμπόλλων ὄντων τὸ πλῆθος· αἴτιον δέ, ἱεροὺς αὐτοὺς εἶναι πεπιστεύκασι, καὶ οἱ Βραχμᾶνες, καὶ μέν-

ex avibus plurimi hunc aeſtiment. Quod quidem ipſum non ab re ſe facere profitentur, quod ſolus pſittacus humanam verborum appellationem explanata oris expreſſione, et vocis conformatione, imitando conſequatur. Atque etiam in iis hortis perbella ſtagna ſunt manu facta, ubi maxima magnitudine piſces cicures degunt; nec eos quiſquam alius piſcatur, quam regis liberi, qui nondum ex pueris exceſſere; ii enim in aqua tranquilla, et non periculoſa, ludentes et captant piſces, et vero navigare diſcunt.

CAP. XIX.

De Capitonibus in Ionio mari.

IN mari Ionio ad Leucaten et Actium, Epirotica promontoria, capitones velut confertis turmis frequentes natant. Ipſorum captura, quae ad hanc rationem fit, mirifica eſt. Piſcatores bini, obſervato tempore, cum luna ſilet, navem coenati conſcendunt, et a terra ſolventes, modo mare a tempeſtate conquieſcat, ſilentio et moderate remigant; ſimul et eorum alteruter ſenſim ac leniter remo navem impellit; alter in cubitum recubans ſuam navis partem uſque eo deprimit, quoad ejus labrum proxime ad aquam acceſſerit. Capitones, horumque ſpeciem ſimilitudinemque gerentes mugiles, ſive quod ex nocte laetitiam et voluptatem percipiunt, ſive etiam quia tranquillitate maris delectantur, latebras ſuas et cavernas relinquentes, ſic ad ſummam aquam efferuntur, ut ex aqua ſummo roſtro emineant, et natare uſque eo pergant, donec ad litus propius acceſſerint. Quod quidem ipſum piſcatores poſtquam perſpexerunt, ſedata remigatione et pedetentim acceſſu ad piſces facto, navigant; ubi vero ex naviculae piſcatoriae motione fluctus cieri ac agitari coepti ſunt, a terra ſtatim piſces refugiunt, et frequentes in partem navis deorſum vergentem ſine retibus innatant, et ſub poteſtatem piſcantium cadunt.

CAP.

τοι καὶ τῶν ὀρνίθων ἁπάντων προτιμῶσι. Καὶ ἐπιλέγουσι δρᾷν τοῦτο μόνον εἰκότως, μόνον γὰρ τὸν ψιττακὸν ἀνθρώπου στόμα εὐστομώτατα ὑποκρίνεσθαι. Εἰσὶ δ' ἄρα ἐν τοῖσδε τοῖς βασιλείοις καὶ λίμναι χειροποίητοι ὡραῖαι, καὶ ἰχθύας ἔχουσι μεγέθει μεγίστους καὶ πρᾳεῖς· καὶ θήρα αὐτῶν οὐδεὶς, ὅτι μὴ οἱ τοῦ βασιλέως υἱεῖς παῖδες ἔτι ὄντες, καὶ ἐν ἀκλύστῳ καὶ ἥκιστα ἐπικινδύνῳ τῷ ὕδατι, καὶ ἁλιεύοντές τε καὶ παίζοντες, καὶ ἅμα καὶ πλέειν μανθάνοντες.

ΚΕΦ. ιθ'.

Περὶ τῶν ἐν τῷ Ἰωνίῳ Κεφάλων.

ΕΝ τῷ Ἰωνίῳ πελάγει κατὰ τὸν Λευκάτην, καὶ τὴν πρὸς τῷ Ἀκτίῳ θάλατταν, ἔνθα τοι καὶ τὸν χῶρον καλοῦσιν Ἤπειρον, κεφάλων εἰσὶ κατὰ ἴλας, ὡς ἂν εἴπῃ τις, ἄφθονοι, νήξει καὶ πλήθει πάμπολλοι. Οὐκοῦν θηρῶνται, καὶ μάλα ἐκπληκτικῶς· ὁ δὲ τρόπος τῆς θήρας οὗτός ἐστι. Νύκτα ἀσέληνον οἱ ἐκεῖθι ἁλιεῖς παραφυλάξαντες, ἀπὸ δείπνου γενόμενοι, κατὰ δύο ἐπῆραν σκάφος, οὐκ ὄντος κύματος, ἀλλ' ἀκλύστου καὶ γαληναίας τῆς θαλάττης, εἶτα ἡσυχῆ καὶ κατὰ μικρὰ προσερέττουσι· καὶ ὁ μὲν αὐτὴν ὑποκινεῖ τῷ κωπίῳ, προσάγων τὴν πορθμίδα βάδην, ὡς ἂν εἴποις· ἅτερος δὲ κατακλινεὶς ἐπ' ἀγκῶνος τὸ καθ' ἑαυτὸν μέρος ἐπιβρίθει τῆς πορθμίδος, καὶ εἰς τοσοῦτον ἐπικλίνει εἰς ἄκρον, ὅσον τὸ χεῖλος αὐτῆς προσπελάζειν τῷ ὕδατι. Οἱ κέφαλοι δὲ, καὶ οἱ τούτοις ὁμοειδεῖς κεστρέες, ἤτοι τῇ νυκτὶ τερπόμενοι, ἢ χαίροντες τῇ γαλήνῃ, τοὺς μὲν χηραμοὺς τοὺς ἑαυτῶν καὶ τοὺς φωλεοὺς ἀπολείπουσιν, ἀνανέουσι δὲ, καὶ τὰ ἄκρα γε τοῦ προσώπου ὑπὲρ τὸ ὕδωρ φαίνουσι, καὶ τοσοῦτον ἐς τὸ ἄνω τῆς νήξεως ἐπιλαμβάνουσι, καὶ γίνονται τῆς ἠϊόνος πλησίον. Θεασάμενοι δὲ θηραταὶ πλέουσι, καὶ τὸ ῥόθιόν γε τῆς πορθμίδος ἡσυχῆ πως ὑποκυμαίνειν ἄρχεται· φεύγοντες δὲ τὴν γῆν, καὶ ὑποστρέφοντες, ἄνευ δικτύων εἰς τὸ ἐπικλινὲς τῆς ἀκάτου σφᾶς ἑαυτοὺς ὑποπλήθουσι, καὶ εἴσω παρελθόντες ἑαλώκασι.

CAP. XX.

De Cetis maximis, quae etiam Rotae appellantur.

CETE immensa corporis mole exaggerata in altitudine maris versantur, et fulminibus quandoque feriuntur. Inter hujuscemodi belluas, et quidem rariores, numerantur, quae rotae appellantur. Hae gregatim natant, et maxime prope Athon Thraciae montem ad dextram, in finibus e regione Sigei Troadis promontorii, et juxta dictum Artacaei tumulum, et Acanthaeum isthmum, ubi et Xerxis scissura illa, qua montem Athon abscidit, spectatur. Eas quidem fortes esse negant. Cervices earum apparent, et adeo longis sunt hirsutae spinis, ut hae extra mare saepe emineant. Cum remigationis strepitum percepere, tum circumversantur et circumvolvuntur, ut quam altissime sese in profundum detrudant; rursusque ex imo gurgite ad summum volutantes sese ac revolventes remeant.

CAP. XXI.

De Tritonibus.

ETSI non admodum explicatam rationem ad demonstrandam tritonum formam piscatores adferre posse dicuntur; magna tamen fama est in sermone hominum sane multorum, cete quaedam a capite ad medium corporis humanam speciem similitudinemque gerentia in mari nasci. Demostratus in libris, quos De piscatu conscripsit, inveteratum tritonem in oppido Tanagra spectatum fuisse dicit, cetera quidem fictis et pictis similem; ejus vero caput, quod vetustate obscuratum esset et evanuisset, non facile intelligentia comprehendi et percipi potuisse; sed cum solum attigissem, inquit, squamae asperae et praedurae dilabebantur. Cum

ΚΕΦ. κ'.

Περὶ Κητῶν μεγίστων, ἃ καὶ Τροχοὶ καλοῦνται.

ΤΩΝ δὲ κητῶν τὰ ὑπέρογκα ἄγαν καὶ τὸ μέγεθος ὑπερήφανα, νήχεται μὲν ἐν τοῖς πελάγεσι μέσοις, ἤδη γε μὴν καὶ σκηπτοῖς βάλλεται. Πρὸς τούτοις μὲν οὖν, καὶ ὅσα ἕτερα σπάνια τοιαῦτα, καὶ ὄνομα τροχὸς αὐτοῖς. Καὶ νεῖ μὲν κατ' ἀγέλας ταῦτα, μάλιστα δὲ ἐν δεξιᾷ τοῦ Ἄθω τοῦ Θρᾳκίου, ἔν γε τοῖς κόλποις τοῦ ἀπὸ Σιγείου πλέοντα ἐντυχεῖν ἐστιν αὐτοῖς κατὰ τὴν ἀντιπέραν ἤπειρον, παρά τε τὸν Ἀρτακαίου καλούμενον τάφον, καὶ τὸν Ἀκανθαῖον ἰσθμὸν, ἔνθά τοι καὶ ἡ τοῦ Παραίου φαίνεται διατομὴ, ἣ δίαιτα μὲν τὸν Ἄθω. Τὰ κήτη δὲ ταῦτα, ἃ καλοῦσι τροχοὺς, ἄλκιμα μὲν οὔ φασιν εἶναι. Λοφιὰν δὲ ὑποφαίνει, καὶ ἀκάνθας ὑπερμήκεις, ὡς καὶ πολλάκις ὁρᾶσθαι ἐξάλους αὐτάς. Ἀκούσαντα δὲ εἰρεσίας κτύπου περιστρέφεταί τε καὶ κατειλεῖται, ὡς ὅτι κατωτάτω ἑαυτὰ ὠθοῦντα· ἔνθεν τοι καὶ τοῦδε τοῦ ὀνόματος μετείληχεν· ἀναπλεῖ δέ ἀνελιχθέντα καὶ κυλιόμενα ἔμπαλιν.

ΚΕΦ. κά.

Περὶ Τριτώνων.

ΤΡιτώνων πέρι σαφῆ μὲν λόγον καὶ ἀπόδειξιν ἰσχυρὰν οὐ μάλα τοί φασιν εἰπεῖν ἔχειν τοὺς ἁλιέας· ἔχει δ' οὖν φήμη διαῤῥέουσα, ναὶ μὰ Δία, πολλῶν, γίνεσθαί τινα ἐν τῇ θαλάττῃ κήτη ἀνθρωπόμορφα, τὰ ἀπὸ κεφαλῆς ὅσα εἰς ἰξὺν λήγει. Λέγει δὲ Δημόστρατος ἐν Λόγοις ἁλιευτικοῖς ἐν Τανάγρᾳ θεάσασθαι τάριχον Τρίτωνα· καὶ τὰ μὲν ἄλλα ἦν, φησὶ, καὶ τοῖς πλαττομένοις ὅμοιος, καὶ τοῖς γραφομένοις· τὴν δὲ οἱ κεφαλὴν ὑπὸ χρόνου διεφθαρμένην οὐ πάντη σαφῆ ἔφατο εἶναι, οὐδὲ οἵαν ἐντυχεῖν τε καὶ γνωρίσαι ῥᾷστα· προσαψαμένου δέ μου, φολίδες ἀπέπιπτον τραχεῖαι, καὶ μέν τοι καὶ ἀντίτυποι

εἰ

Cum vero quiſpiam ſenatorii ordinis ex iis, qui ſortito Achaiam adminiſtrant, et annuum magiſtratum gerunt, ejus naturam exquirere experirique vellet, paulum quiddam de corio detraxit, atque in ſuccenſum ignem injecit; idque ambuſtum in circumſtantium nares teterrimum odorem immiſit; neque vero, inquit, terrenumne an marinum eſſet animal, conjectura aſſequi poteramus. Sed male ei haec curioſitas ceſſit. Paulo poſt enim diem extremum clauſit, cum e parva navicula exiguum et anguſtum fretum trajiciens in mare incidiſſet; quod ei accidiſſe Tanagraei interpretabantur propter impietatis crimen adverſus Tritonem, conjectura inde ſumpta, quod defuncti cadaver e mari rejectum ſanie ſtillaſſet ejuſdem odoris, qualem aduſtum ab ipſo tritonis corium emiſerat. Ceterum unde hic triton aberrarit, et quomodo hunc in locum ejectus ſit, Tanagraei et Demoſtratus dicant. Ego ut tritones eſſe credam, dei veraciſſimi teſtis reverentia moveor; is eſt Apollo Didymaeus, apud nullum non ſanae mentis hominem fide dignus, qui tritonem marinam pecudem cognominat, ubi cecinit:

Dum vocale maris monſtrum natat aequore triton,
Neptuni pecus, in funes forte incidit extra
Demiſſos navim.

Ergo ſi omniſcius ille tritonas eſſe pronunciat, nos de illis dubitare non oportet.

CAP. XXII.

De Elephantis Indorum regi adſtantibus.

Elephantus Indorum regem ad forum euntem primus adorat, id quidem facere edoctus, nec hoc officium vel recuſat, vel obliviſcitur. Huic adeſt rector, qui illum hujus inſtituti commonefacit, ipſique memoriam diſciplinae falcis, qua illum moderatur

εὖ μάλα. Τῶν δέ τις τῶν ἐκ βουλῆς ἁρμοζόντων κλήρῳ τὴν Ἑλλάδα, ϗ πεπιστευμένων τὴν ἀρχὴν ἑνὸς ἔτους, βασανίζων οἷα δὴ ϗ ἐλέγχων τοῦ βλεπομένου τὴν φύσιν, εἶτα τοῦ δέρματος παρελὼν ὀλίγον καθήγισεν ἐπὶ πυρὸς, ϗ ὀσμὴ μὲν βαρεῖα καιομένου τοῦ ἐμβληθέντος προσέβαλλε τῶν παρόντων τὰς ῥῖνας· οὐ μὴν συμβάλλειν, φησὶν, εἴτε χερσαῖον τὸ ζῶον εἴτε θαλάσσιον εἴη τὴν φύσιν, εἴχομεν. Ἀλλ᾽ ἧγε πεῖρα οὐ χρηστόν οἱ τὸν μισθὸν ἀπέδωκεν. Οὗτος γὰρ μετὰ μικρὸν τὸν βίον κατέστρεψε, περαιούμενος ὀλίγον ϗ στενὸν πορθμὸν ἐξήει πορθμείῳ ϗ βραχεῖ· ϗ ἔλεγόν γε, ὡς ἐκεῖνος λέγει, Ταναγραῖοι παθεῖν αὐτὸν ταῦτα, ἀνθ᾽ ὧν εἰς τὸν Τρίτωνα ἠσέβησε, τεκμηριοῦντες ὅτι ἀποψύχων μὲν ἐξῃρέθη τῆς θαλάττης, ἰχῶρα δὲ ἠφίει παραπλήσιον τὴν ὀσμὴν τῇ τοῦ Τρίτωνος δορᾷ, ὅτε αὐτὴν ἐκεῖνος ἔκαιε ϗ ἐνεπίμπρα. Ὁπόθεν δὲ ἄρα ὁ Τρίτων οὗτος ἐπλανήθη, ϗ ὅπως δεῦρο ἐξεβράσθη, Ταναγραῖοί τε λεγέτωσαν ϗ Δημόστρατος. Ἐπὶ τούτοις δὲ αἰδοῦμαι τὸν θεὸν, ϗ ἄξιον πείθεσθαι τῷ μάρτυρι τῷ τοσῷδε· εἴη δ᾽ ἂν ὁ ἐν Διδύμοις Ἀπόλλων, τεκμηριῶσαι ἱκανὸς παντὶ, ὅτῳ νοῦς τε ὑγιαίνει ϗ ἔρρωται ἡ φρὴν, Τρίτωνα γοῦν θρέμμα θαλάττιόν φησιν εἶναι, ϗ ἃ λέγει ϗ ταῦτ᾽ ἐστι·

Θρέμμα Ποσειδάωνος ὑγρὸν τέρας, ἠπύτα Τρίτων,
Νηχόμενον γλαφυροῖς ὁρμήμασι σύντυχε νηός.

Εἰ τοίνυν ὁ πάντα εἰδὼς ϗ Τρίτωνας εἶναί φησιν, ἡμᾶς ὑπὲρ τούτου διαπορεῖν οὐ χρή.

Κ Ε Φ. κβ΄.

Περὶ τῶν Ἐλεφάντων τῶν παραμενόντων τῷ βασιλεῖ τῶν Ἰνδῶν.

ΤΟΝ Ἰνδῶν βασιλέα προϊόντα ἐπὶ δίκαις προσκυνεῖ ὁ ἐλέφας πρῶτος, δεδιδαγμένος τοῦτο, ϗ μάλα γε δρῶν μνημόνως τε ϗ εὐπειθῶς αὐτό. Παρέστηκε δὲ ϗ ἐκεῖνος, ὅσπερ οὖν ἐνδιδῶσίν οἱ τοῦ παιδεύματος τὴν ὑπόμνησιν τῇ ἐκ τῆς ἅρπης

deratur, pulſu, et voce quadam vernacula renovat, cujus natura quadam ineffabili et peculiari elephanti intelligentes ſunt; tum etiam motus quoſdam bellicos edit, velut oſtendens, quod hanc etiam diſciplinam ſervat. Viginti quatuor elephanti huic regi permanent cuſtodes alternis vigiliis, alii aliis in ſtationem ſuccedentes, tanquam ceteri cuſtodes; et ſapientia quadam Indica ad vigiliarum diſciplinam erudiuntur, ne inter cuſtodias ſomnum capiant. Hecataeus quidem Mileſius Amphiaraum Oiclis filium ſcribit ſomno oppreſſum neglexiſſe cuſtodiam, et tantum non ea paſſum eſſe, quae dicit. At elephanti ad vigilias agendas praeſtantiſſimi excubitores, et a ſomno invictiſſimi, et ſecundum homines fidiſſimi illic ſunt.

C A P. XXIII.

Quod Scolopendra ſit cetus marinus.

SCOLOPENDRAE vim et naturam, quanto equidem maximo potui ſtudio, cum multum ac diu perſcrutatus eſſem, quendam maximum cetum marinum hanc quoque eſſe audivi, quam de mari tempeſtatibus in litus expulſam, nemo foret tam audax, quin adſpicere horreret. Ii vero, qui res maritimas percallent, eas inquiunt ſpectari toto capite eminentes e mari; et narium pilos magna excelſitate apparere; et ejus caudam, ſimiliter atque locuſtae, latam perſpici; reliquum etiam corpus aliquando in ſuperficie aequoris ſpectari, idque conferri poſſe cum triremi juſtae magnitudinis; atque permultis pedibus utrinque ordine, tanquam e ſcalmis appenſis, ut ita dicam, remigare. Addunt harum rerum periti, ac fide digni, ipſos etiam fluctus, ea natante leviter ſubſonare.

CAP.

κρέσει, καὶ φωνῇ τινι ἐπιχωρίῳ, ἥσπερ οὖν ἐλέφαντες ἐπαΐειν εἰλήχασι φύσει τινὶ ἀποῤῥήτῳ, καὶ μάλα γε ἰδίᾳ τοῦ ζώου τοῦδε· καὶ μέντοι γε καὶ κίνησίν τινα ὑποκινεῖται πολεμικὴν, οἷον ἐνδεικνύμενος, ὅτι καὶ τοῦτο τὸ μάθημα ἀποσώζει. Τέσσαρες δὲ καὶ εἴκοσι τῷ βασιλεῖ φρουροὶ παραμένουσιν ἐλέφαντες ἐκ διαδοχῆς, ὥσπερ οὖν οἱ φύλακες οἱ λοιποί· καὶ αὐτοῖς παίδευμα τὴν φρουρὰν οὐ κατανυστάξασι, διδάσκονται γάρ τοι σοφίᾳ τινὶ Ἰνδικῇ καὶ τοῦτο. Καὶ λέγει μὲν ὁ Ἑκαταῖος ὁ Μιλήσιος Ἀμφιάρεων τὸν Ὀμικλέους κατακοιμίσαι τὴν φυλακὴν, καὶ ὀλίγου παθεῖν, ὅσα λέγει. Οὗτοι δὲ ἄρα ἄγρυπνοι, καὶ ὕπνῳ μὴ ἡττώμενοι, πιστότατοι τῶν ἐκεῖθι φυλάκων μετά γε τοὺς ἀνθρώπους εἰσί.

ΚΕΦ. κγ΄.

Ὅτι καὶ Σκολοπένδρα θαλάττιόν ἐστι κῆτος.

ΕΓΩ δὲ ἄρα ὡς εἶχον ὁρμῆς, ἐπὶ μακρότατον ταῦτά τε καὶ τὰ ὑπὲρ τούτων ἀνασκοπούμενός τε καὶ ἀνιχνεύων, πέπυσμαι καὶ σκολοπένδραν εἶναί τι θαλάττιον κῆτος, μέγιστον κητῶν καὶ τοῦτο, καὶ ἐκβρασθεῖσαν μὲν θεάσασθαι οὐκ ἄν τις θρασύνοιτο. Λέγουσι δὲ οἱ ἀκριβοῦντες ἄνθρωποι τὰ θαλάττια ὁρᾶσθαι αὐτὰς πλωτάς· καὶ πᾶν μὲν ὅσον ἐστὶ κεφαλὴ, τοῦτο ὑπερτείνειν ἔξαλον· καὶ μέντοι καὶ μυκτήρων τρίχας ἐξεχέσας, καὶ μάλα γε ὑψηλὰς ἀποδεικνύναι· πλατεῖαν δὲ τὴν οὐρὰν, καὶ οἷον δοκεῖ καράβου· ἤδη δ' ἄρα αὐτῆς καὶ τὸ λοιπὸν σῶμα ἐπιπολάζον τοῖς κύμασιν ὁρᾶται, ὅσον ἀντικρίναι τριήρους τελείας αὐτὸ μεγέθει· νήχονται δὲ ἄρα πολλοῖς τοῖς ποσὶ, καὶ κατὰ στοῖχον αὐτοῖς καὶ ἐντεῦθεν καὶ ἐκεῖθεν, οἱονεὶ σκαλμοῖς παρηρτημένοις, εἰ καὶ τραχύτερον ἀκοῦσαι, ἑαυτοῖς ἐρέττουσαι. Λέγουσιν οὖν οἱ δεινοὶ ταῦτα, καὶ ὑπηχεῖν τὸ ῥόθιον ἡσυχῇ, καὶ πείθουσι λέγοντες.

CAP. XXIV.

De agitatione Canum secundum Xenophontem.

XENOPHON de canibus haec ait: Per montes eos agitari oportere, per arva rarius; tramites enim cultorum locorum eis negotium exhibere, et in errorem inducere. Multo sane idem praestare ait, per aspera canes agitari, robustioribus enim fieri pedibus, et ad cursum praestantiores, corpora exercentes: itemque leporis vestigia multum hiemis tempore procedere, propter longiores noctes; contra autem aestate. Atque ex praedictis apparet, quid significet τὸ ἐναντίον [contra.]

CAP. XXV.

Quantum studii rex Indorum Equorum et Elephantorum nutritioni adhibeat.

CIRCA equos et elephantos, quod eorum in armis ac bellis usus sit, Indi perquam studiosi sunt. Itaque regi suo foeni manipulos adferunt, quos in praesepia injiciunt; et semina vel fruges, quae recentia atque integra ostentant: quod si talia fuerint, laudantur a rege; sin minus, acerbe tum elephantorum curatores, tum equisones, ab eo castigantur. Sed ne alias quidem utcunque minimas animantes contemnit; et cum dono ei offeruntur, admittit libenter. Siquidem Indi animal nullum, sive cicur sive ferum, aspernantur. Quamobrem subditi, qui in aliqua dignitate sunt, munera ferunt grues, anseres, gallinas, anates, turtures, attagenas, perdices, et pindalos (aves attagenum similes) et praedictis minores quasdam, ut boccalides, ficedulas, et miliarias. Has apertas ostendunt, ut interior earum pinguitudo appareat. Adferunt

Κ Ε Φ. κδ'.

Περὶ τῆς ἀγωγῆς τῶν Κυνῶν κατὰ Ξενοφῶντα.

Ξενοφῶν δὲ ὑπὲρ κυνῶν λέγει ϗ ταῦτα· Δεῖν εἰς τὰ ὄρη πολλάκις ἄγειν αὐτὰς, τὰ δὲ ἔργα ἧττον· τοὺς γάρ τοι τριμμοὺς ἐκ τῶν ἐνεργῶν χωρίων λυπεῖν τε αὐτὰς ϗ σφάλλειν. Λῷον δ' εἶναι ὁ αὐτός φησιν εἰς τὰ τραχέα ἄγειν, ϗ κέρδος γε ἐκεῖνο πρὸς τοῦτο διδάσκει, εὔποδάς τε αὐτὰς γίνεσθαι, ϗ ἀλτικωτέρας, ἐκπονούσας τὸ σῶμα· ἴχνη δ' ἄρα λαγὼ τοῦ μὲν χειμῶνος μακρὰ ὁρᾶσθαι λέγει, διὰ τὸ μῆκος τῶν νυκτῶν· τοὐναντίον δὲ τούτου, τοῦ θέρους. Καὶ σαφὲς ἐκ τοῦ προειρημένου τί βούλεται τὸ ἐναντίον.

Κ Ε Φ. κέ.

Τίνα τρόπον ἄγει διὰ σπουδῆς ὁ Ἰνδῶν βασιλεὺς τὴν τῶν Ἵππων τε ϗ Ἐλεφάντων τροφήν.

Ἵππους ϗ ἐλέφαντας, ἅτε ζῷα ϗ ἐν ὅπλοις ϗ πολέμοις λυσιτελῆ, τιμῶσιν Ἰνδοὶ, ϗ μάλα γε ἰσχυρῶς. Τῷ γοῦν βασιλεῖ κομίζουσι ϗ κωμύθας, ἃς ἐμβάλλουσι ταῖς φάτναις· ϗ χιλὸν, ϗ ἐπιδεικνύουσι νεαρόν τε ϗ ἀσινῆ· ϗ ἐὰν μὲν εἴη τοιοῦτος, ἐπαινεῖ ὁ βασιλεύς· εἰ δὲ μὴ, κολάζει τούς τε τῶν ἐλεφάντων μελεδωνοὺς, ϗ τοὺς ἱπποκόμους πικρότατα. Οὐκ ἀτιμάζει δὲ οὐδὲ τὰ ἄλλα τὰ μικρότατα ζῷα· ἀλλὰ ϗ ἐκεῖνα προσίεται, δῶρά οἱ κομιζόμενα. Ἰνδοὶ γὰρ οὐκ ἐκφαυλίζουσι ζῷον οὔτε μὴν ἥμερον, οὐδὲ ἄγριον οὐδέν. Αὐτίκα γοῦν δωροφοροῦσι τῶν ὑπηκόων οἱ διὰ τιμῆς ἰόντες γεράνους τε ϗ χῆνας, ἀλεκτορίδας τε ϗ νήττας, ϗ τρυγόνας τε ϗ ἀτταγὰς, προσέτι πέρδικάς τε ϗ πινδάλους (ἔστι δὲ ἐμφερὲς τῷ ἀτταγᾷ τοῦτό γε) ϗ τὰ ἐπὶ τούτῳ τῶν προειρημένων βραχυτέρας τε, ϗ βωκκαλίδας, ϗ συκαλίδας, ϗ τὰς καλουμένας κεγχρίδας. Ἐπιδεικνύουσι δὲ αὐτὰ ἀναπτύξαντες, τὸν εἰς βάθος αὐτῶν ἐλέγχοντες πιασμόν. Καὶ τούτων πεπιασμένων, ἐλεφάντων τε, ϗ βουβαλίδων,

runt et cervos obeſos, et bubalides, et capreas, et oryges, et aſinos unicornes (quorum ſupra mentionem feci) denique piſcium genera diverſa.

CAP. XXVI.

De marinis Cicadis.

Est etiam cicadarum genus marinum. Harum maxima parvo carabo ſimilis eſt, cornua vero non ſimiliter atque ille magna, nec aculeos habet; adſpectu etiam nigrior eſt, et, cum captus eſt, ſtridorem quendam edere videtur; pinnae ipſius exiguae ſub oculis enaſcuntur, terrenarum alis ſimiles. Hominum plerique ab ea comedenda idcirco abſtinent, quod ſacram exiſtiment. Seriphios autem, cum mortuam ceperint, eam ſepelire audio; et vivam in retia delapſam non retinere, ſed mari reddere; mortuas vero etiam deflent, aiuntque eas Perſeo, Iovis filio, in deliciis eſſe.

CAP. XXVII.

De Hyaena, Trachuro, Thynno, Torpedine, et Pulmone piſcibus.

Si piſcis hyaenae nuncupati, eodem quo terreſtris nomine, pinnam dextram ad hominem ſomno conſopitum admoveas, ſane quam eum ipſum perturbabis; etenim formidoloſa ſecundum quietem ſpectra et ſimulacra videbit, acerbaque inſomnia perpetietur. Item, ſi poſteaquam trachuri caudam abſcideris, ipſumque in mare liberum remiſeris, eam equae ventrem ferenti appendas, non multo certe poſt abortum pariet. Iam vero ſi quis, qui nondum exceſſerit ex extrema pueritia, thynni ſanguine illinatur, non pubeſcet. Hoc idem torpedo et marinus pulmo efficiunt; nam in aceto

λίδων, καὶ δορκάδων, καὶ ὀρύγων τε, καὶ τῶν ὄνων τῶν ἐχόντων ἓν κέρας (ὧν καὶ ἀνωτέρου που τὴν μνήμην ἐποιησάμην) καὶ ἰχθύων γένη διάφορα, καὶ κομίζουσι καὶ ταῦτα.

ΚΕΦ. κϛ'.

Περὶ Τεττίγων θαλαττίων.

ΕΣτι δὲ ἄρα καὶ τέττιξ ἐνάλιος. Καὶ ὁ μὲν μέγιστος αὐτῶν ἔοικε καράβῳ μικρῷ, κέρατα δὲ οὐκ ἔχει μεγάλα κατ' ἐκείνους, οὐδὲ κέντρα· ἰδεῖν δέ ἐστι τοῦ καράβου ὁ τέττιξ ζοφωδέστερος, καὶ ἐπὰν αἱρεθῇ, προσέοικε τετριγότι· πτέρυγες δὲ ὀλίγαι τὸ μέγεθος ὑπὸ τοῖς ὀφθαλμοῖς αὐτοῦ ἐκπεφύκασι, καὶ εἶεν ἂν κατὰ τὰς τῶν χερσαίων καὶ αὗται. Οὐ σιτοῦνται δὲ αὐτὸν οἱ πολλοὶ, νομίζοντες ἱερόν. Σεριφίους δὲ ἀκούω καὶ θάπτειν νεκρὸν ἑαλωκότα· ζῶντα δὲ εἰς δίκτυον ἐμπεσόντα οὐ κατέχουσιν, ἀλλὰ ἀποδιδόασι τῇ θαλάσσῃ αὖθις· θρηνοῦσι δὲ ἄρα τοὺς ἀποθανόντας, καὶ λέγουσι Περσέως τοῦ Διὸς ἄθυρμα αὐτοὺς εἶναι.

ΚΕΦ. κζ'.

Περὶ Ὑαίνης ἰχθύος, καὶ Τραχούρου, καὶ Θύννου, Νάρκης τε, καὶ Πνεύμονος.

ΥΑινα ἰχθὺς ὁμώνυμος τῇ χερσαίᾳ ὑαίνῃ ἐστί· ταύτης οὖν τὴν πτέρυγα δεξιὰν εἰ ὑποθήσεις ἀνθρώπῳ καθεύδοντι, εὖ μάλα ἐκταράξεις αὐτόν· δέα γάρ τινα καὶ ἰνδάλματα καὶ φάσματα ὄψεται, καὶ ἐνύπνια ἕτερα οὐδαμῶς εὐμενῆ καὶ φίλα. Τραχούρου γε μὴν ζῶντος ἐὰν ἀποκόψῃς τὴν οὐρὰν, καὶ τὸν τράχουρον ἄρα ἐλεύθερον ἀπολύσῃς ἐς τὴν θάλασσαν, τήν γε μὴν προειρημένην οὐρὰν ἐξαρτήσῃς ἵππου κυούσης, οὐ μετὰ μικρὸν ἐκπεσεῖται τὸ ἔμβρυον, καὶ ἐξαμβλώσει ἡ ἵππος. Μειρακίου γε μὴν δεομένου ἐπὶ μήκιστον τριχῶν ἀπορίας τῶν ἐπὶ τοῦ γενείου, αἷμα ἐπιχρισθὲν θύννου ἀωρόλειον τὸ μειράκιον ἐνεργάζεται. Δρᾷ δὲ ἄρα καὶ νάρκη καὶ πνεύμων τὸ αὐτό· ἐν ὄξει γὰρ διασαπεῖ-

σαι

aceto putrefactae eorum carnes, et mento adſperſae, fugam pilorum facere dicuntur. Quid ad haec Tarentini et Tyrrheni ſophiſtae et mangones variorum malorum, qui picis uſu pſilothrum oſtenderunt, ut pro viris redderent mulieres?

C A P. XXVIII.

Quod Aurata piſcium timidiſſima ſit.

AVRATA omnium piſcium timidiſſima eſt. Nam ſub Arcturi tempus, cum maris acceſſus et receſſus maxime fiunt, et eo altius exaggerata arena ad litus relinquitur, ut naves ſaepe ex omnibus aquis nudae in terra remaneant; tum piſcatores, poſtquam populorum arborum ramos frondibus conveſtitos, paxillorum modo in mucronem acutos, in arenam defixere, diſcedunt; poſt autem rurſus accedens mare ſecum imbellem auratarum multitudinem attrahit, quae ubi aeſtus reciprocavit et receſſit, in exigua aqua concavis locis retenta relinquuntur, et vero ramorum metu quieſcunt; adeo enim ramos vento agitatos exhorrent, ut ne loco quidem ſe commovere audeant. Quamobrem primo cuique magnum meticuloſorum piſcium numerum capere et ferire licet; neque modo ab uſu piſcandi inſtructi, ſed etiam totius piſcationis rudes, atque adeo pueri et feminae capere poſſunt.

σαι αἱ τούτων σάρκες, καὶ ἐπιχρισθεῖσαι τοῖς γενείοις, φυγὴν τριχῶν ἐνεργάζονται, φησί. Τί πρὸς ταῦτα Ταραντῖνοί τε καὶ Τυῤῥηνοὶ σοφισταὶ κακῶν δαιδάλων, ἐκεῖνο ἀνιχνεύσαντές τε καὶ πειράσαντες τὴν πίτταν, ὡς ἐξ ἀνδρῶν εἰς γυναῖκας ἀποκρίνειν;

ΚΕΦ. κή.

Ὅτι δειλότατος ἰχθύων ἐστὶν ὁ Χρύσοφρυς.

Ὁ Χρύσοφρυς ἄρα ἰχθύων ἁπάντων δειλότατος ἦν. Ἐν δὴ ταῖς παλιῤῥοίαις τῆς θαλάττης, ὅταν ᾖ ὥρα Ἀρκτούρου σύνδρομος, ἡ μὲν ὑπονοστεῖ μάλιστα ἡ θάλαττα περὶ τὸ ἄκτιον, ψιλὴ δὲ ἡ ψάμμος ὑπολείπεται, καὶ αἱ ναῦς πολλάκις ἐπὶ τῆς γῆς ἑστήκασιν ὕδατος χῆραι· ἐκεῖ οἱ ἐπιχώριοι ὅρπηκας αἰγείρων χλωροὺς καὶ κομῶντας ὀξύναντες δίκην σκολόπων, καὶ ἐμπήξαντες τῇ ψάμμῳ, ὑπαναχωροῦσιν· εἶτα ὑποστρέψαν τὸ κῦμα ὑποσύρει ἰχθύων τῶν προειρημένων πλῆθος ἄμαχον, ὑπονοστεῖ αὖθις, καὶ ἀπολείπονται πολλοὶ χρύσοφροι ἐν ὀλίγῳ ὕδατι, ἔνθα καθειμένον εὑρεθῇ καὶ κοῖλον, εἶτα ὑπὸ τοῖς κλάδοις πτήξαντες ἡσυχάζουσι· διασειομένους γὰρ αὐτοὺς καὶ διακινουμένους ὑπὸ τοῦ προσπίπτοντος πνεύματος ὀῤῥωδοῦσι, καὶ οὔτε σπαίρουσιν, οὔτε ἀναπάλλονται. Πάρεστι δή σοι λαβεῖν ὡς αἰχμαλώτους, καὶ παίειν παντὶ τῷ προσπεσόντι δειλῶν ἰχθύων δῆμον, εἴποι τις ἄν· αἱροῦσι γοῦν αὐτοὺς οὐ τεχνῖται μόνοι, ἀλλὰ κἂν ἰδιώτης παρατυχὼν, ἢ καὶ παῖδες καὶ γυναῖκες.

AELIANI DE NATVRA ANIMALIVM LIBER XIV.

CAPVT I.

De Scombris in Ionio prope Epidamnum mari.

IN mari Ionio prope Epidamnum, ubi et Taulantii habitant, insula est, quae Minervae appellatur, eamque piscatores incolunt; et istic lacus est, ubi scombrorum, qui ad piscatorum consuetudinem assueverunt, et mansuefacti sunt, greges aluntur. Iis cibaria objiciunt piscatores, cum quibus iidem foedere et pace devinciuntur; et captura liberi sunt, atque eatenus aetate procedunt, ut vivant ibidem ad summam senectutem. Nec sane ignaviter victitant, neque in suos altores ingrati sunt; at enim de piscatoribus pastum cum mane acceperint, piscationem mox capessunt, ut se nutricantibus praeminum pro nutrimento persolvant. Quare ex portu solventes ad feros scombros gentiles suos natare contendunt, ac, simul ut ad eos pervenerunt, cum ipsis ita continuo tanquam cum aliqua turma aut phalange suorum popularium errant; et nimirum cum ejusdem generis et naturae sint, non inter se fugiunt, sed simul natant; post autem cicures circum feros concursantes in orbem consistunt, et suorum corporum obstructione eos fuga exituque intercludentes, suorum nutritiorum, ut pro iis quibus expleti cibis fuerint, illos remunerentur, adventum acerrime tamdiu

ΑΙΛΙΑΝΟΥ
ΠΕΡΙ
ΖΩΩΝ ΙΔΙΟΤΗΤΟΣ
ΒΙΒΛΙΟΝ ΙΔʹ.

ΚΕΦΑΛΑΙΟΝ αʹ.

Περὶ Σκόμβρων τῶν ἐν τῷ Ἰωνίῳ Ἐπιδάμνου πλησίον.

ΕΝ δὲ τῷ Ἰωνίῳ πελάγει πλησίον Ἐπιδάμνου, ὅπου ϗ Ταυλάντιοι παροικοῦσι, νῆσός ἐστι, ϗ Ἀθηνᾶς κέκληται, ϗ οἰκοῦσιν ἐνταῦθα ἁλιεῖς· ἔστι δὲ ϗ λίμνη αὐτόθι, ϗ σκόμβρων ἠθάδων ϗ ἡμέρων ἀγέλαι τρέφονται. Καὶ τούτοις μὲν τροφὰς ἐμβάλλουσιν οἱ ἁλιεῖς, ϗ ἔστιν αὐτοῖς πρὸς αὐτοὺς ἔνσπονδα, καί εἰσιν ἐλεύθεροι, ϗ ἀθηρίαν εἰλήχασι, ϗ προΐασιν εἰς χρόνου πλῆθος, ϗ ζῶσιν αὐτόθι ϗ σκόμβροι γέροντες. Οὐ μὴν ἀργοὶ σιτοῦνται, οὐδὲ μὴν ὑπὲρ ὧν τρέφονταί εἰσιν ἀχάριστοι· λαβόντες δὲ ϗ ἐκ τῶν ἁλιέων τροφὰς τὰς ἑωθινὰς, εἶτα μέντοι ϗ αὐτοὶ ἐπὶ τὴν θήραν ἴασιν, ὥσπερ οὖν τροφεῖα ἐκτίνοντες. Καὶ τοῦ λιμένος προελθόντες ἐπὶ τοὺς ξένους ϗ τοὺς ξενίους στέλλονται σκόμβρους, ϗ ἐντυχόντες ὡς ἴλῃ τινὶ ἢ φάλαγγι, ἅτε ὁμοφύλοις ϗ τῆς αὐτῆς φύσεως οὖσι προσνέουσι, ϗ οὔτε τούτους ἐκεῖνοι φεύγουσιν, οὔτε οὗτοι ἐκκλίνουσιν αὐτοὺς, ἀλλὰ συνίασιν· εἶτα οἱ τιθασσοὶ τοὺς ἐπήλυδας περιελθόντες, ϗ κυκλόσε γενόμενοι, ϗ αὐτοὺς συμφράξαντες, ἀπειλήφασι μέσους πολύ τι πλῆθος, ϗ οὐκ ἐῶσι διαδιδράσκειν, ἀναμένουσι δὲ τοὺς τροφέας, ϗ ἀνθ' ὧν ἐκορέσθησαν, ἀντεφεστιῶσι

tamdiu exſpectant, dum piſcatores eo profecti captorum permultas caedes effecerint. Cicures vero mature properantes ad portum regrediuntur, atque ibidem intra cavernas abditi a piſcatoribus coenam exſpectant; quam quidem ipſi eis largiuntur, ſi ipſos ad piſcatum adjutores atque amicos fidos habere velint. Haec autem quotidie ac diligenter fieri aiunt.

CAP. II.

De Scaro ad morbum regium utili.

SCARVM, cujus bilis per totum corpus diffuſa eſt, ſi comedendum dederis homini jecore aegrotanti, et arquato morbo laboranti, ad ſanitatem redibit, ut periti piſcatores docent.

CAP. III.

Quomodo capiantur Piſces in ſinuoſis et vadoſis locis.

CAPIVNTVR piſces etiam ſine naſſis, hamis, et retibus, hoc modo. Sinus maris multi deſinunt in paludes quaſdam, quae quidem vadoſae ſunt. Ad haec loca periti piſcatores, cum aer ſerenus eſt, et tempeſtates conquieſcunt, multos homines adducunt, eoſque jubent inambulare, et arenam eatenus proterere, et conculcare, quoad ex vehementi pedum impreſſione bene alta veſtigia faciant; quae ſi permaneant, nec ipſa concidens arena confundat, neque a ventorum perturbatione aqua concitetur, non longo intervallo eo ingreſſi in veſtigiis impreſſis planos piſces conſopitos, pſettas, rhombos, ſtrothos [paſſeres] torpedines, et alios ejuſmodi capiunt.

CAP.

τοὺς ἁλιέας, ἐπελθόντες γὰρ αἱροῦσιν αὐτοὺς, ϗ πολὺν ἐργάζονται φόνον. Οἱ δὲ τιθασσοὶ ἐπανίασι σπεύδοντες εἰς τὸν λιμένα, ϗ τοὺς ἑαυτῶν χηραμοὺς ὑπελθόντες ἀναμένουσι τὸ δειλινὸν δεῖπνον· οἱ δὲ ἥκουσι κομίζοντες, εἰ βούλονται συνθήρους ἔχειν, ϗ φίλους πιστούς. Ὁσημέραι μέντοι πράττεται ταῦτα ϗ δεινῶς, φασί.

ΚΕΦ. β΄.

Περὶ τοῦ Σκάρου πρὸς ἴκτερον ὠφελοῦντος.

Σκάρου διαχυθείσης τῆς χολῆς περὶ πᾶν τὸ σῶμα, ἐὰν δῷς ἐμφαγεῖν ἀνθρώπῳ νοσοῦντι τὸ ἧπαρ, ϗ ἴκτερον ἔχοντι, σωθήσεται, ὡς οἱ σοφοὶ τῶν ἁλιέων διδάσκουσι.

ΚΕΦ. γ΄.

Πῶς ἁλίσκονται οἱ Ἰχθύες ἐν τοῖς κόλποις ϗ τοῖς τενάγεσι.

Ἁλίσκεται δὲ ἄρα ἰχθὺς ϗ ἄνευ κύρτων, ϗ ἀγκίστρων, ϗ δικτύων, τὸν τρόπον τοῦτον. Κόλποι θαλάττης πολλοὶ τελευτῶσιν ἐς τενάγη τινὰ, ϗ ἔστι ταῦτα ἐπιβατά. Ὅταν οὖν ᾖ γαλήνη ϗ εἰρήνη πνευμάτων, οἱ τεχνῖται τῶν ἁλιέων ἄγουσι πολλοὺς ἐνταῦθα, εἶτα αὐτοὺς προστάττουσι βαδίζειν, ϗ πατεῖν τὴν ψάμμον, ὡς ὅτι μάλιστα ἐπερείδοντας τὸ πέλμα ἰσχυρῶς· εἶτα ἴχνη καταλείπεται βαθέα, ἅπερ οὖν ἐὰν φυλαχθῇ, ϗ μή ποτε συμπεσοῦσα ἡ ψάμμος συγχέῃ αὐτὰ, μηδὲ ἐνταραχθῇ ὑπὸ πνεύματος τὸ ὕδωρ, ὀλίγον διαλείπουσιν οἱ ἁλιεῖς, ϗ ἐκβάντες καταλαμβάνουσιν ἐν τοῖς κοιλώμασι τῶν βημάτων, ϗ τοῖς ἴχνεσι, τοὺς ἰχθῦς τοὺς πλατεῖς ἀναξομένους, ψήττας τε, ϗ ῥόμβους, ϗ στρουθοὺς, ϗ νάρκας, ϗ τὰ τοιαῦτα.

CAP. IV.

Quibus rebus utilis ſit Echinus marinus, atque etiam terreſtris.

De echino marino et ſupra dixi, et nunc denuo dicam, quae inſuper accepi. Ad ſtomachum hebeſcentem non parum proficit echinus marinus, etenim vel omnium ciborum faſtidio laborantem in priſtinae valetudinis ſtatum reſtituit; atque ad veſicam, quemadmodum harum rerum bene periti affirmant, exonerandam utilis eſt; et ſi corpus ſcabie infectum eo perungatur, ad ſanitatem redit; item vulnerum ſordes cum teſtis crematus extergit. Cinis terreni herinacii cremati ad picem admiſtus, et locis a pilo nudis illitus, pilum, ut ſic joco dicam, a ſuis ſedibus fugitivum reducit; in vini autem potione ſumptus remedium ad dolores renum adhibetur, et aqua intercute laborantes ſanat, ut antea dixi; ejuſdemque jecore ad aſſum ſolem exſiccato elephantiaſi laborantes ſanantur.

CAP. V.

Quaenam cornua Elephantorum, maris vel feminae, praeſtantiora ſunt.

Ex elephantino genere cornua feminae majus pretium quam maris habere, hujuſcemodi rerum ſcientia inſtructi et praedicant, et illa nos docent; nimirum in Mauritania, quemadmodum quotannis cervis, ſic decimo quoque anno cornua elephantis excidere ſolere. Itaque hi in genua incumbentes uſque adeo cornua impellunt et defigunt in terram expoſitam in planiciem et riguam, quam alteri praeferunt, quoad illa ipſa occultaverint, quibus ſe exonerare tantopere cupiunt; deinde locum, in quem abſtruſerunt et repoſuerunt ejuſmodi theſaurum, pedibus exaequant

ΚΕΦ. δ΄.

Θαλάττιος Ἐχῖνος εἰς πόσα ἐστὶν ἀγαθὸς, ϗ ἔτι ὁ χερσαῖος.

Ἐχίνου θαλαττίου πέρι εἶπον ἀνωτέρω, ϗ νῦν δὲ εἰρήσεται, ὅσα προσακήκοα. Ἔστι μὲν ϗ τῷ στομάχῳ ἀγαθὸν, τὸν τέως γὰρ κακόσιτον ὄντα, ϗ πᾶν ὁτιοῦν βδελυττόμενον, ὅδε ἀναῤῥώννυσιν· ἔστι δὲ ϗ κύστεως κενωτικὸς, ὡς οἱ τούτων λέγουσι σοφοί· εἰ δὲ αὐτοῦ ϗ ἐπιχρίσαις σώματι ψωριῶντι, ὅδε σῶν ἐργάζεται τὸν τέως νοσοῦντα τὴν νόσον τὴν προειρημένην· καυθεὶς δὲ ἄρα ὀστράκοις αὐτοῖς ἐκκαθαίρει τε τὰ ῥυποῦντα τῶν τραυμάτων. Χερσαίου δὲ ἐχίνου καυθέντος ἡ σποδιὰ πίττῃ προσανακραθεῖσα εἶτα μέντοι καταχρίεται τῶν λειψοτρίχων μερῶν, ϗ αἱ τέως φυγάδες, ἵνα τι ϗ παίζω, ὑπαναφύονται· πινομένη δὲ οἴνῳ νεφροῖς ἀγαθόν ἐστι, σώζει δὲ ἄρα ϗ ὑδεριῶντας ποθεῖσα, ὥσπερ δὴ ϗ προεῖπον· τὸ δὲ ἧπαρ ἄρα τοῦ ἐχίνου τούτου ἰᾶται ὑφ᾽ ἡλίου γενόμενον αὖον τοὺς μέντοι νόσῳ τῇ τοῦ καλουμένου ἐλέφαντος κατειλημμένους.

ΚΕΦ. έ.

Πότερα κέρατα τιμιώτερα Ἐλέφαντος, τὰ τοῦ ἄῤῥενος, ἢ τὰ τοῦ θήλεος.

Ἐλέφας ὁ θῆλυς, τιμιώτερα εἶναι τὰ τούτου κέρατα οἱ σοφοὶ ταῦτα ὑμνοῦσί γε, ϗ ἐκεῖνα ἡμᾶς διδάσκουσιν· ἐν τῇ Μαυρουσίᾳ γῇ οἱ ἐλέφαντες δεκάτῳ ἔτει πάντως αὐτοῖς τὰ κέρατα ἐκπεσεῖν σπεύδει, ὥσπεροῦν ϗ τῶν ἐλάφων, ἀλλὰ τούτων ἀνὰ πᾶν ἔτος. Οἱ τοίνυν ἐλέφαντες οἵδε γῆν πεδιάδα ϗ ἔνδροσον προαιροῦνται τῆς ἄλλης, ϗ ἐπερείδουσιν εἰς αὐτὴν ὀκλὰξ ἐπικύψαντες, ἐκδῦναι αὐτῶν δεινῶς σφριγῶντες· τοσοῦτον δὲ ἄρα ἐπωθοῦσιν, ὡς ϗ τέως αὐτὰ ἀποκρύψαι, εἶτα μέντοι ὑποψήσαντες τοῖς ποσὶ λεῖον τὸν χῶρον ἀπέφηναν τὸν

φρουροῦντα

exaequant et complanant. Terra autem, quod ſit feraciſſima, poſt paulum herbam proferens, abditorum cornuum adſpectum viatoribus adimit. Eorum vero perveſtigatores, qui ſane ad illorum inſidias et aſtus prudentes ſunt, in eum locum, in quem cornua defoſſa ſuſpicantur, utribus caprinis aquam deportant; dein alios alio ex utribus repletis diſpertiunt atque ibidem commorantur, et alius quidem dormiens, alius potans, alius inter pocula cantiunculam canens ſuos amores meditatur: et ſi quis formoſum juvenem iſtic praeſentem, et venationis comitem, de amore interpellet, haud mirum mihi videtur; ſunt enim Maurusii pulchri et proceri, adſpectuque virili, et rei venatoriae ſtudioſi, iidemque, quamvis aetate provecta, multos juvenes in amorem ſui concitant. Quod ſi cornua ſint alicubi prope defoſſa, quadam mirabili illecebra ex utribus ſic aquam eliciunt, ut vaſa exſiccent et exinaniant. Ii autem, qui cornua exquirunt, ſtatim ſine canibus ſagaciſſime praedam odorati locum illum bidentibus et ligonibus perfodiunt, et optatum conſequuntur; ſi vero utres permanſerint pleni, eos inde transferentes alio ſe conferunt.

CAP. VI.

Quod Elephantus cor duplex habere feratur, item de Lynce.

DUPLICI tum corde tum ſenſu animi elephantus eſſe dicitur, et altero quidem ira incendi, altero mitigari et leniri, Maurorum ſermonibus pervagatum eſt. Iidem de lynce tradunt, magis eſſe ſimam quam pardalim, et ſummis hirſutam auriculis; feram hanc maxime ſaltu valere, et ad retinendum, quod corripuerit, pertinaciſſime validiſſimam eſſe. Videtur et Euripides

φρουροῦντα τὸ θησαύρισμα αὐτοῖς. Γονιμωτάτη δὲ ἄρα ἡ γῆ οὖσα εἶτα ἥκιστα τὴν πόαν ἀναφύει, καὶ ἀφανίζει τὴν ὄψιν τοῦ γεγενημένου τοῖς ὀδῷ χρωμένοις. Οἱ δὲ καὶ ταῦτα ἀνιχνεύοντες τὰ φώρια, καί τινα σοφίαν τῆς ἐκείνων ἐπιβουλῆς ἔχοντες, ἐν ἀσκοῖς αἰγείοις ὕδωρ κομίζουσιν· εἶτα αὐτοὶ διασπείρουσι πεπληρωμένους ἄλλους ἀλλαχόσε, καὶ αὐτοὶ καταμένουσι, καὶ καθεύδει τις, καὶ ἄλλος ὑποπίνει, καὶ πού τις καὶ μεταξὺ ἐπιῤῥοφῶν τῆς κύλικος ὑπαναμέλπει, καὶ μέμνηται διὰ τοῦ μέλους, ἧς ἐρᾷ· εἰ δὲ καὶ νέον ὡρικὸν ὑποπειρᾷ παρόντα τις, καὶ αὐτὸν τῆς ἰχνεύσεως κοινωνὸν, οὐκ ἂν θαυμάσαιμι· εἰσὶ γὰρ Μαυρούσιοι καὶ καλοὶ καὶ μεγάλοι, καὶ ἀνδρικὸν ὁρῶσι, καὶ ἔργων ἔχονται θηρατικῶν, καὶ μέντοι καὶ πολλὰ ἀναφλέγουσι μειράκια ἔτι καὶ τηλικοίδε ὄντες. Οὐκοῦν εἰ τὰ κέρατα εἴη κατωρυγμένα πλησίον ἐκεῖνα, τάδε ἴϋγγί τινι ἀποῤῥήτῳ καὶ θαυμαστῇ δὲ τὸ ὕδωρ ἐκεῖνο ἐκ τῶν ἀσκῶν ἕλκει, καὶ ἀποδείκνυσι κενοὺς αὐτούς. Ἐνταῦθα τοίνυν σμινύαις τε καὶ μακέλλαις διασκάπτουσι τὸν χῶρον, καὶ ἔχουσι τὸ θήραμα ῥινηλατήσαντες ἄνευ κυνῶν· ἐὰν δὲ ἔμπλεῳ μείνωσιν οἱ ἀσκοὶ, οὔπερ οὖν καὶ κατέθεσαν αὐτοὺς οἱ τῶν κεράτων τῶνδε θηραταὶ, οἵδε ἀπίασιν ἐπ᾽ ἄλλην θήραν, καὶ μέντοι καὶ ἀσκοὺς καὶ ὕδωρ ἐπάγονται πάλιν, τὰ θήρατρα τῆς ἄγρας τῆς προειρημένης.

ΚΕΦ. ϛʹ.

Ὅτι λέγεται διπλῆν καρδίαν ἔχειν ὁ Ἐλέφας, καὶ περὶ τῆς καλουμένης Λυγγός.

ΛΕγεται δὲ καὶ ἐλέφας διπλῆν ἔχειν καρδίαν, καὶ διπλᾶ νοεῖν, καὶ τῇ μὲν θυμοῦσθαι, καὶ πραΰνεσθαί γε μὴν τῇ ἑτέρᾳ· Μαυρουσίοις δὲ ἄρα μὴν ἕπομαι λόγοις, λέγων ταῦτα. Ἐπεί τοι καὶ ἐκεῖνα οἱ αὐτοὶ ὑμνοῦσι, λύγγας εἶναι· φασὶ δὲ αὐτὰς παρδάλεως μὲν ἔτι καὶ πλέον σιμὰς, ἄκρα γε μὴν τὰ ὦτα λασίους· θηρίον τοῦτο ἀλκικὸν δεινῶς, καὶ κατασχεῖν βιαιότατά τε καὶ ἐγκρατέστατα καρτερόν. Ἔοικε δὲ ἄρα τῷ θηρίῳ τούτῳ

μαρτυρεῖν

Euripides hujus tanquam informis beſtiae meminiſſe, cum ait:

Accedit ille vel humeris aprum ferens,
Lyncemve deformem malamque beſtiam.

Cur autem δύςοκον [difficulter parientem] eam dicat, a criticis quaerendum.

CAP. VII.

De magna Struthione.

De magna ſtruthione haec etiam quis dixerit. In ejus ventre a ſordibus expurgato lapides inveniuntur, quos haec poſteaquam devoravit, in omaſo prope reticulum diu adſervatos concoquit; ii ſane ad efficiendam oculorum medicinam ſalutares ſunt: atque illius adeps et nervi auxilium et ſalutem nervis hominum adferunt. Eadem in curſu deficiens laſſitudine comprehenditur ab equitibus; etenim in orbem currit exterius, verum equites interiore et breviore orbe circumacti currendo tandem defeſſam adſequuntur. Ad hunc etiam modum capitur: Pedibus ſane nidum ex ſabulo architectans in ſolo humilem conſtruit, cujus medium cavum eſt, labra ambientia alte exaggerat, ac tanquam muro circummunit, ne per labra defluens aqua pluvia in nidum influat, et pullos etiamnum teneros alluat. Amplius quidem octoginta ova ex ſeſe parit, non tamen uno eodemque tempore ex ovis pullos excludit, ſed ex his partim jam in lucem proferuntur, partim intra ova informantur, partim etiam foventur. Cum autem ipſam ſic incubantem vir hujus venationis bene peritus animadverterit, peracuta haſtilia mucronibus e ferro ſurſum erectis et reſplendentibus circa nidum defigit; et alicubi prope in occulto latens ex inſidiis rei eventum avide expectat. Struthio vero pullos ſuos vehementer amans, et eorum conſortii quam maxime avida, a paſtu revertitur;

μαρτυρεῖν καὶ Εὐριπίδης τὸ ἀπρόσωπον οὖν, ὅταν που λέγῃ·

> Ἥκει δ' ἐπ' ὤμοις ἢ συὸς φέρων βάρος,
> Ἢ τὴν ἄμορφον λύγκα, δύστοκον δάκος.

Ὑπὲρ ὅτου δὲ λέγει δύστοκον τοὺς Κριτικοὺς ἐρέσθαι λῷον.

ΚΕΦ. ζ'.

Περὶ τῆς Στρουθοῦ τῆς μεγάλης.

Περὶ στρουθοῦ δὲ τῆς μεγάλης, εἴποι τις ἂν καὶ ἐκεῖνα. Ἡ γαστὴρ αὐτῆς ἀνῃρημένης εὑρίσκεται καθαιρομένη λίθους ἔχουσα, οὕσπερ οὖν καταπιοῦσα ἡ στρουθὸς ἐν τῷ ἐχίνῳ φυλάττει, καὶ πέττει τῷ χρόνῳ· εἶεν δ' ἂν οὗτοι καὶ ἀνθρώπων ὄψεως ἀγαθοί· νεῦρα δὲ τὰ ταύτης καὶ λίπος ἀνθρωπείων νεύρων ἀγαθὰ εἰσιν. Ἁλίσκεται μὲν οὖν αὕτη ὑπὸ ἵππων ἀπειποῦσα τῷ δρόμῳ· θεῖ μὲν γὰρ εἰς κύκλον, ἀλλ' ἐξωτέρω περιθέουσα· οἱ δὲ ἱππεῖς τῷ ἐνδοτέρῳ ὑποτέμνονται κύκλῳ, καὶ ἔλαττον περιϊόντες ἀπειποῦσαν τῷ δρόμῳ ἀγρεύουσιν αὐτὴν χρόνῳ. Λαμβάνεται δὲ καὶ τοῦτον τὸν τρόπον· Καλιὰν ἐργάζεται ταπεινὴν ἐν τῷ δαπέδῳ τὴν ψάμμον διαγλύψασα τοῖς ποσὶ, καὶ τὸ μὲν μεσαίτατον αὐτῆς κοῖλόν ἐστι, τὰ χείλη δὲ τὰ κύκλῳ ὑψηλὰ ἐργάζεται, ἀποτειχίζουσα τρόπον τινὰ, ἵνα τὸ ἐκ Διὸς ὕδωρ ἀποστάζῃ τὰ χείλη, καὶ μὴ εἰσρέῃ τῇ καλιᾷ, καὶ ἐπικλύζῃ τῆς στρουθοῦ τοὺς νεοττοὺς ὄντας ἁπαλούς· τίκτει δὲ καὶ ὑπὲρ τὰ ὀγδοήκοντα, οὐ μὴν ἀθρόα ἐκγλύφει, οὐδὲ ἐν ταὐτῷ χρόνῳ παρίασιν ἐς τὸ φῶς πάντα, ἀλλὰ τὰ μὲν ἤδη τέτεκται, ἄλλα δὲ ἔτι ἐν τοῖς ᾠοῖς ὑποπήγνυται μὲν, τὰ δὲ ὑποθάλπεται. Ὅταν οὖν ἐν τούτοις ᾖ ἐκείνη, θεασάμενος ἀνήρ τις, οὐκ ἄφρων, ἀλλὰ τῆς τοιαύτης θήρας πεπειραμένος, αἰχμὰς περὶ τὴν καλιὰν πήγνυσι τεθηγμένας, ὀρθὰς δὲ ἄρα κατὰ τοῦ σαυρωτῆρος πήγνυσι, καὶ ὁ σίδηρος ἐκλάμπει, καὶ ἀναχωρήσας ἐλλοχᾷ τὸ πραττόμενον. Ἐπάνεισιν οὖν ἐκ τῆς νομῆς ἡ στρουθὸς, ἐρῶσα τῶν νεοττῶν ἰσχυρῶς,

vertitur; ac nimirum priuſquam in nidum introeat, huc illuc verſans oculos circumſpectat, quod metuat ne quis ipſam ſpeculetur; deinde ardentiſſimo pullorum ſtudio victa, et tanquam oeſtro percita, etſi ferrum ſplendeſcit, ita tamen alis, tanquam velis expanſis, continuo curſu et cum ſtridore fertur, et intra nidum ſe recipit, et miſerrime quidem; nam cuſpidato ferro implicata et traſfixa moritur. Venator vero id animadvertens, ſimul cum matre pullos capit.

CAP. VIII.

De Anguillis in Pado, et quomodo eae capiantur.

In Italiae occidentem verſus regionibus civitas eſt, Patavium nomine, quam ab Antenore Trojano conditam ferunt, cum Ilio patria capto in hanc terram veniſſet ſuperſtes, et dimiſſus a Graecis, eo quod Menelaum et Vlyſſem propter Helenam legatione fungentes ipſe ſervaſſet, quos Antimachus occidendos ſuaſerat,

Amplis muneribus Paridis corruptus et auro,

ut canit Homerus. Non procul hac urbe Patavio diſtat alia, nomine Bitetia, quam fluvius Eretenus alluit, et terram non modicam praeterlapſus tandem in Eridanum influit. Ceterum in Eridano anguillae maximae et omnium pinguiſſimae naſcuntur; capiunturque hoc modo: Piſcator ad ſinuoſum locum, ubi latius confluens dilatatur, vel in ſaxo ex aqua eminente, vel in arbore radicitus ventorum turbinibus exſtirpata, et jam putreſcenti et ad ignem inutili, ſedens perpinguis inteſtini ovilli recentis tria aut

καὶ διψῶσα αὐτῶν τῆς συνουσίας· καὶ τὰ μὲν πρῶτα περιβλέπει δεῦρο καὶ ἐκεῖσε, καὶ ἑλίττει τὸ ὄμμα, δεδοικυῖα μή τις αὐτὴν θεάσηται· εἶτα μέντοι νικωμένη ὑπὸ τοῦ ἱμέρου καὶ οἰστρουμένη, τὰς πτέρυγας ἁπλώσασα, ὡς ἱστίον δρόμῳ συντόνῳ φερομένη καὶ ῥοίζῳ, εἶτα εἰσήλατο εἰς τὴν ἑαυτῆς καλιάν, καὶ οἴκιστα· ταῖς γὰρ αἰχμαῖς ἐμπλεχθεῖσα καὶ περιπαρεῖσα ἀποθνήσκει. Ἐπίσταται οὖν ὁ θηρατής, καὶ ᾕρηκε σὺν τῇ μητρὶ τοὺς ἐκγόνους.

ΚΕΦ. η΄.

Περὶ τῶν ἐγχελύων τῶν ἐν τῷ Ἠριδανῷ ποταμῷ, καὶ ὅπως θηρῶνται.

Πόλις ἐστὶν ἐν τοῖς ὑπὸ τὴν ἑσπέραν χωρίοις Ἰταλικοῖς, καὶ ὄνομα αὐτῇ Παλάβιον, Ἀντήνορος ἔργον εἶναι λέγουσι τοῦ Τρωὸς τὴν πόλιν· ταύτην δ' ᾤκησεν ἄρα γῆν οἴκοθεν σωθείς, ὅτε ἀπηλλάγη τῆς πατρίδος ἁλούσης τῆς Ἰλίου, αὐτὸν αἰδεσθέντων τῶν Ἑλλήνων, ἐπεὶ πρεσβεύοντα τὸν Μενέλεων σὺν τῷ Ὀδυσσεῖ ὑπὲρ τῆς Ἑλένης ἔσωσεν, Ἀντιμάχου συμβουλεύοντος ἀποκτεῖναι αὐτούς· ἔλεγε δὲ ἄρα καὶ οὗτος ταῦτα,

Χρυσὸν Ἀλεξάνδροιο δεδεγμένος ἀγλαὰ δῶρα,

ὡς Ὅμηρός φησιν. Οὐκοῦν τῷδε τῷ Παλαβίῳ πόλις γειτνιᾷ ἑτέρα, καὶ Βιγητίαν καλοῦσιν αὐτήν, καὶ παραρρεῖ ποταμὸς αὐτῇ, Ἠρετενὸς ὄνομα, καὶ παραμείβεται οὗτος γῆν οὐκ ὀλίγην, εἶτα εἰς τὸν Ἠριδανὸν ἐμβάλλει, καὶ ἀνακοινοῦται τὸ ὕδωρ. Ἐν δὴ τῷ Ἠριδανῷ ἐγχέλεις γίνονται μέγισταί τε, καὶ τῶν ἀλλαχόθεν πιόταται μακρῷ· ἁλίσκονται δὲ ἄρα τὸν τρόπον τοῦτον· Ἐπὶ πέτρας προβλῆτος κάθηται ὁ θηρατὴς ἔν τινι κολποειδεῖ χωρίῳ, ὅπου καὶ πλατύνεται τὸ ῥεῦμα ἔτι μᾶλλον, ἢ καὶ ἐπί τινος δένδρου κάθηται προρρίζου πλησίον τῆς ὄχθης ῥιφέντος ὑπὸ πνεύματος σκληροῦ, ὅπερ οὖν ὑποσήπεται μέν, ἀχρεῖον δέ ἐστι κατακῆναί τε καὶ ἐκκαῦσαι αὐτό· οὐκοῦν ἑαυτὸν καθίσας ὁ τῶν ἐγχελύων τῶνδε ἁλιεύς, καὶ λαβὼν ἔντερον νεοσφαγοῦς ἀρνὸς τριῶν

aut quatuor cubita patentis alterum caput in aquam dejicit, quod aquae vorticibus agitatum volutatur; idemque illius alterum extremum manibus tenet, in quod quidem ipſum arundinis fruſtum perinde longum, atque gladii capulus, inſertum eſt. Neque vero diu anguillas eſca latet, gaudent enim hoc inteſtino; et continuo earum prima quaeque, fame ſtimulata, hiante ore atque imminenti hamatos ac uncinatos dentes ſuos in idipſum inteſtinum defigit, atque hoc idem crebra inſultatione detrahere conatur. At piſcator anguillam intelligens ex fluctuatione inteſtino inhaereſcere, arundinem, ad quam alligatum eſt inteſtinum, ori ſuo admovet, et quoad poteſt inteſtinum vehementer inflat, quod quidem ipſum defluente hominis adſpiratione et impletur et intumeſcit; et ventus in anguillam illapſus illius caput et fauces flatu opplet, atque anhelitum eatenus obſtruit, ut ea non queat neque reſpirare, neque inteſtino infixos dentes detrahere; quare ſuffocatur, et a tribus velut adverſariis calamo, ſpiritu, et inteſtino capta ſubtrahitur. Hoc cum quotidie fiat, multae a multis capiuntur. Has autem iſtorum piſcium proprietates etiam referre mihi viſum fuit.

C A P. IX.
De marino Leone.

MARINVM leonem locuſtae ferme ſimilem eſſe ſcio; praeterquam quod corpore tenuior et gracilior apparet, et ex aliqua cruſtarum ſuarum parte caeruleus, item quod ignavus eſt; et forcipes illius maximae cancrorum forcipibus figura ſimiles ſunt. A piſcatoribus bene peritis membranas quaſdam habere dicitur appenſas ex teſtis et colligatas, ſub quas ſubjectae ſint molles carunculae et tenerae, quae leonis adeps appellentur. Is ad hoc ipſum, aiunt, homines adjuvat, ut ſqualidam et infuſcatam faciem ad nitorem

μὲν ἢ τετλάρων πηχῶν, πεπιασμένον δ' ἰσχυρῶς, τὴν μὲν ἀρχὴν αὐτοῦ καθίησιν ἐς τὸ ὕδωρ, καὶ εἱλεῖται ἐν ταῖς δίναις στρεφόμενον· τόγε μὴν τέλος διὰ χειρῶν ἔχει, ἐμβέβληται δὲ εἰς αὐτὸ καλάμου τρύφος, ὅσον κώπην εἶναι τὸ μῆκος ξίφους. Οὐ μὴν λανθάνει τὰς ἐγχέλυς ἡ τροφὴ, χαίρουσι γὰρ τῷδε τῷ ἐντέρῳ· καὶ ἥγε πρώτη προσελθοῦσα, οἰστρουμένη ὑπὸ τοῦ λιμοῦ καὶ περιχανοῦσα, ἐμφύει τοὺς ὀδόντας, γυροὺς τε καὶ ἀγκιστρώδεις καὶ δυσελίκτους ὄντας, καὶ συνεχῶς ἐπισκαίρει τε, καὶ πειρᾶται καθέλκειν τὸ δέλεαρ. Ὁ δὲ κραδαινομένου τοῦ ἐντέρου συνεὶς ἔχεσθαι τὴν ἔγχελυν, τὸν κάλαμον, ᾧ τὸ ἔντερον προσήρτηται, ἐνθεὶς τῷ ἑαυτοῦ στόματι, καὶ οἷον σθένει καταπνέων, φυσᾷ τὸ ἔντερον καὶ μάλα γε ἰσχυρῶς, τὸ δὲ ἐκ τοῦ καταῤῥέοντος πνεύματος πίμπλαται καὶ οἰδαίνει· ὁ τοίνυν ἄνεμος κατολισθαίνει εἰς τὴν ἔγχελυν, καὶ πληροῖ μὲν τοῦ πνεύματος αὐτῆς τὴν κεφαλὴν, πληροῖ δὲ τὴν φάρυγγα, καὶ ἐμφράττει τῷ θηρίῳ τὸ ἆσθμα· καὶ ἀναπνεῦσαι μὴ δυναμένη, μηδὲ μὴν ἐξελεῖν τοῦ σπλάγχνου τοὺς ἐμπεφυκότας ὀδόντας, ἀποπνίγεται, καὶ ἀνασπᾶται ἁλοῦσα ὑπὸ τοῦ ἐντέρου, καὶ τοῦ πνεύματος, καὶ τοῦ καλάμου τρίτου. Καθ' ἑκάστην μὲν οὖν δρᾶται τοῦτο, ἁλίσκονται δὲ ὑπὸ πολλῶν πολλαί. Ἔστω δέ μοι καὶ ταῦτα τῶνδε τῶν ἰχθύων λεχθέντα ἴδια.

ΚΕΦ. θ'.

Περὶ τοῦ θαλαττίου Λέοντος.

ΛΕοντα θαλάττιον ἐοικέναι καράβῳ ἀμηγέπη καὶ ἡμεῖς ἴσμεν· λεπτότερον δὲ τὴν ἕξιν τοῦ σώματος ὁρῶμεν αὐτὸν, καὶ ὑπό τι καὶ κυανοῦ μέρη τῶν ὀστράκων προσβάλλοντα· νωθῆ δὲ, καὶ ἔχοντα χηλὰς μεγίστας, καὶ ταῖς τῶν καρκίνων προσεοικυίας κατὰ σχῆμα. Λέγεται δὲ ὑπὸ τῶν σοφωτέρων ἁλιέων ἔχειν τινὰς ὑμένας προσηρτημένους τοῖς ὀστράκοις, ὑφ' οἷς ὑμέσιν εἶναι σαρκία ἁπαλὰ, καὶ καλεῖσθαι ἐκείνου τοῦ λέοντος στέαρ ταῦτα. Ὀνίνασθαι δὲ τοὺς ἀνθρώπους ἐξ αὐτοῦ ἐκεῖνα· προσ-

torem adducat; et cum rosaceo in unguentum conformatus formae pulchritudinem conciliat, et venustum splendorem enitere facit. Id etiam auditione accepi, terrenum leonem summe timere marini adspectum, absurdum scilicet ac formidabilem; sed neque odorem ejus ferre. Quantopere gallinaceus quidem ab eodem timeatur, supra dixi. Illum ipsum leonem terrestrem dicunt marini contritarum crustarum pulverem ex aqua bibentem a ventris morbo liberatum iri. Haec de marini leonis natura peculiari mihi dicta sunto.

CAP. X.
De Asinis Mauritanis.

MAVRVSII asini cursu celerrimi, primum ut se in viam dederunt, velocissimi sunt, ut vento quodam aut avis alis ferri videantur; at cito delassantur, et ipsorum pedes fatiscunt, ac spiritus deficit, atque velocitatis suae obliviscuntur, tarditateque constricti insistunt, et acerrimas profundunt lachrymas, non tantopere, meo judicio, ob futuram mortem, quam ob pedum infirmitatem. Quare ab equis desilientes Mauritani illorum collo funem injiciunt, et sic alligatos ad suum quisque equum trahunt, tanquam captivos. Ceterum et equos et asinos Libycos corporibus esse exiguis, cursu vero pernicissimos, superius dixi.

CAP. XI.
De Libycis Bobus.

LIBYCORVM boum, qui feri solutique errant, multitudo innumera est, et tanta celeritas, ut unum insequentes venatores interdum fallantur; quod nimirum in alios feros incidant, et ille interim sub dumeta saltusve subiens se subducat; alii autem similes exoriantur, et venatorum oculos fallant. Horum quempiam

ὧπερ καθαίρουσι χρῶτα θολερόν· καὶ ἐλαίῳ ῥόδοις ἀνακραθέντι ἐμβληθέντα, καὶ γενόμενα χρίσμα, εἰς ὥραν καὶ ἀγλαΐαν συμμάχεσθαι. Προσακήκοα δὲ καὶ ἐκεῖνο, τὸν ἐπὶ τῆς γῆς λέοντα δεδιέναι ἰσχυρῶς τοῦ θαλαττίου τῆς ὄψεως τὸ ἐκτράπελον, καὶ μὴ φέρειν αὐτοῦ τὴν ὀσμήν. Ὡς δέδοικε δὲ καὶ ἀλεκτρυόνα ὁ λέων αὐτὸς, ἀνωτέρω μοι λέλεκται. Λέγουσι δὲ καὶ συντριβέντων αὐτοῦ τῶν ὀστράκων, καὶ ἐμβληθείσης τῆς κόνεως εἰς ὕδωρ, πιόντα τὸν χερσαῖον λέοντα ἔξω ἂν γίνεσθαι νόσου λυπούσης αὐτοῦ τὴν κοιλίαν. Εἰρήσθω δέ μοι καὶ ταῦτα τοῦ θαλαττίου λέοντος ἴδια.

ΚΕΦ. ί.

Περὶ τῶν Ὄνων τῶν Μαυρουσίων.

ΟΝοι δὲ Μαυρούσιοι ὤκιστοι δραμεῖν, παρά γε τὴν πρώτην ὁρμήν εἰσιν ὀξύτατοι, ἢ ὡς καὶ νὴ Δία αὔρας τινὸς ἐμβολὴν εἶναι, ἢ πτερὸν αὐτόχρημα ὄρνιθος· ταχέως δὲ κάμνουσι, καὶ αὐτοῖς οἱ πόδες ἀπαγορεύουσι, καὶ τὸ πνεῦμα ἐπιλείπει, καὶ τῆς τε ὠκύτητος εἰλήφασι λήθην, καὶ ἑστᾶσι νωθεῖς πεπεδημένοι, καὶ ἀφιᾶσι δάκρυα θαλερὰ, οὔ μοι δοκεῖ ἐπὶ τῷ μέλλοντι θανάτῳ τοσοῦτον, ὅσον ἐπὶ τῇ τῶν ποδῶν ἀσθενείᾳ. Τῶν μὲν οὖν ἵππων ἀποπηδήσαντες εἶτα μέντοι περιβάλλουσιν αὐτοῖς βρόχους περὶ τὴν δέρην, καὶ τῷ ἵππῳ προσαρτήσας ἕκαστος ἄγει ὡς αἰχμάλωτον ἑαλωκότα. Ὅτι δὲ μικροὶ μὲν ἰδεῖν εἰσιν οἱ Λίβυες ἵπποι καὶ ὄνοι, δραμεῖν δ' ὤκιστοι, ἀνωτέρω εἶπον.

ΚΕΦ. ιά.

Περὶ τῶν ἐν Λιβύῃ Βοῶν.

ΒΟῶν δὲ Λιβύων πλῆθος ἦν ἄρα καὶ πλέον ἀριθμοῦ, καί εἰσιν ὤκιστοι οἱ ἄγριοί τε καὶ ἐλεύθεροι· καὶ οἵγε θηραταὶ πολλάκις σφάλλονται ἕνα διώκοντες, καὶ ἐμπίπτουσιν εἰς ἑτέρους ἀκμῆτας· καὶ ὁ μὲν εἰσδὺς εἰς θάμνον ἢ νάπην ἠφανίσθη, ἕτεροι δὲ ἀναφαίνονται ὅμοιοι, καὶ ἀπατῶσι τὴν ὄψιν. Καὶ εἴ γέ

piam si quis ingrediatur insequi, primum cohibendus est equus, sic enim fessum longinquitate temporis comprehendet; sin ab initio statim equi habenas laxarit, illo demum defesso, bovem non capiet. Quamvis vero multi quotannis capiantur, et mactentur; sobolis tamen eorum successio perfoecunda est. Cum vitulis etiam tauri oberrant, et vaccae una, aliae foetae, aliae foetus expertes. Quod si quis vitulum adhuc tenerum ceperit, et non statim occiderit, ex eo duplici commodo afficietur; nam cum vitulo simul matrem comprehendit, si ea fecerit, quae hic referre opportunum est: Postquam venator vitulum fune alligavit, ab eo secedit: illa filii desiderio inflammata, tanquam asilo stimulata furit, et cupiens dissoluta reste eum abducere, cornua impingit, ut vinculum laxet et distrahat; at enim alterutro cornu in funis complicationem inserto, una cum vitulo constricta tenetur, sobolem suam non liberans, et ipsa insuper vinculo indissolubili se implicans. Hujus venator cum jecur extraxit, et ubera turgentia lacte excidit, et pellem exemit, carnes devorandas relinquit avibus et feris; vitulum vero integrum domum fert, qui et in cibo suavissimus est, et lacti densando coagulum praebet.

CAP. XII.
De marino Dracone.

MARINUS draco aliis piscibus reliquo corpore similis est, caput vero et oculorum magnitudo terreni draconis speciem similitudinemque gerunt, magni enim sunt et venusti: maxillae etiam similitudinem quandam habent cum terrestribus; et ejus pellis non procul abesse a terreni draconis pelle palpanti videtur, squamarum scilicet asperitate; quin et infestis ac venenatis armatur aculeis, tactu noxiis.

τις ὑπάρξοιτο τούτων διώκειν τινὰ, προσαπαίρειν αὐτῷ ἵππῳ· τὸν μὲν γὰρ ἤδη καμόντα αἱρήσει τις τῷ χρόνῳ, τοὺς δὲ αὐτῶν ἀρχομένους δρόμου, προπονήσαντός οἱ τοῦ ἵππου, οὐχ αἱρήσει. Ἁλίσκονται δὲ ἀνὰ πᾶν ἔτος πολλοὶ, καὶ ἀποθνήσκουσιν· ἥγε μὴν ἐπιγονὴ αὐτῶν διαδέχεται, καὶ μάλα ἀφθόνως. Ἀλῶνται δὲ σὺν τοῖς μόσχοις καὶ οἱ ταῦροι κοινῇ, καὶ αἱ θήλειαι, αἱ μὲν κύουσαι, αἱ δὲ ἄτοκοι. Εἰ δὲ ἕλῃ τις μόσχον ἔτι νεαρὸν, καὶ μὴ παραχρῆμα ἀποκτείνῃ, διπλοῦν κέρδος ἕξει· συνήρηκε γὰρ καὶ τὴν τεκοῦσαν αὐτὸν, δράσας γε ἐκεῖνα, ἅπερ εἰπεῖν οὐκ ἔστιν ἄτοπον. Τὸν μὲν καταδήσας σχοινίῳ ἀπολέλοιπε, καὶ ἀναχωρεῖ αὐτός· ἡ δὲ τῷ πόθῳ τοῦ τέκνου τηρεῖται, καὶ φλεγομένη οἰστρᾶται, καὶ βουλομένη λύσασα ἀπάγειν ἐμβάλλει τὰ κέρατα, ἵνα διαξάνῃ τε καὶ διαστήσῃ τὰ δεσμά· ὅτῳ δ' ἂν τῶν κεράτων ἐς τὴν τῆς σχοίνου συμπλοκὴν διείρῃ, κατέχεται, καὶ πεδηθεῖσα σὺν τῷ μόσχῳ καταμένει, ἐκεῖνον μὲν οὐκ ἀπολύσασα, ἑαυτήν γε μὴν ἀφύκτῳ τῷ δεσμῷ περιβαλοῦσα. Ταύτης οὖν ὁ θηρατὴς ἐξελὼν τὸ ἧπαρ αὐτὸ, καὶ τὰ οὔθατα σφριγῶντα ἔτι ἐκτεμὼν, καὶ τὴν δορὰν δείρας, τὰ κρέα ἀφῆκεν ὄρνισι καὶ θηρίοις δαῖτα· τὸν δὲ μόσχον οἴκαδε κομίζει πάντα, ἔστι γὰρ καὶ ἐδωδὴν ἥδιστος, καὶ πῆξαι γάλα παρέξει ὀπὸν δούς.

ΚΕΦ. ιβʹ.

Περὶ θαλαττίου Δράκοντος.

Δράκων θαλάσσιός ἐστι μὲν παραπλήσιος τοῖς ἰχθύσι τοῖς ἄλλοις, ὅσα ἐς τὸ λοιπὸν σῶμα· τήν γε μὴν κεφαλὴν ἔοικε τῷ χερσαίῳ δράκοντι, καὶ τῶν ὀφθαλμῶν τὸ μέγεθος, εἰσὶ γὰρ μεγάλοι καὶ καλοί· καὶ τοῦτο μέντοι, καὶ αἱ γένυς μὲν τοῖς χερσαίοις προσβάλλουσι τὴν ἑαυτῶν ἀμωσγέπως μορφήν· ἔχει δὲ καὶ φολίδας, καὶ τραχεῖαί εἰσι, καὶ τῆς δορᾶς τῆς δρακοντείου οὐ πόῤῥω δοκοῦσιν, εἴτις προσάψαιτο· ἐκπέφυκε δὲ καὶ κέντρα χαλεπὰ αὐτοῦ, καὶ ἰὸν φέρει τὰ κέντρα, καὶ ἔστι τῷ θίγοντι οὐ χρηστά.

CAP. XIII.

Quibus Animalibus Indorum rex secundis mensis vescatur.

INTER cetera animalium naturae propria hoc quoque non omiserim. Indorum rex secundis mensis et bellariis non iisdem delectatur quibus Graeci, qui palmarum pumilarum fructus expetunt; at ille vermem quendam in planta nascentem secundis mensis igne tostum adhibet, suavissimum quidem illum, ut Indi aiunt, et eorum, qui gustaverunt, nonnulli afferunt, quibus ego fidem habuerim. Eidem tragematum loco sunt, olorum, struthionum, et anserum ova. Ex his ut ipse cetera non reprehendo, ita ne cycnis quidem amici sunt Indi; quod illas quanquam Apollini sacras, et mire canoras aves, suae tamen pullitiei insidiari, et ova propria perdere, fama sit.

CAP. XIV.

De Dorcadibus Libycis.

DE Libycis dorcadibus et cemadibus animus est mihi nunc dicere. Dorcades quanquam velocitate sunt mirabili, tamen cursu inferiores sunt equis Libycis. Capiuntur et retibus. Ventre sunt albo, qui color eis ad laparas usque adscendit; ad ventrem vero utrimque latera nigris vittis distinguuntur, reliqui corporis color ruffus aut flavus est; et pedes quidem eis longi sunt, oculi nigri, cornibus caput ornatur, et longissimas aures habent. Porro κεμὰς a poetis etiam nuncupata, turbinis instar, celerrime fertur; pilis est ruffis et perquam hirsuta, cauda vero albicat; ejus oculi cyaneo colore tincti videntur, ac aures densissimis pilis refertae; cornua antrorsum speciosa tendunt, quibus venatores invadit, simul ad iis metum incutiendum, et nocendum idonea.

 Neque

ΚΕΦ. ιγ΄.

Τίνα Ζῶα ἐπιδόρπια ἐσθίει ὁ τῶν Ἰνδῶν βασιλεύς.

ΖΩων δ' ἂν εἴη με εἰπεῖν καὶ τὸ ἴδιον αὐτῶν. Ὁ τῶν Ἰνδῶν βασιλεὺς ἐπιδόρπια σιτεῖται ταῦτα, οἷα δήπου οἱ Ἕλληνες, ὅσα ἐντραγεῖν αἰτοῦσι φοινίκων τῶν χαμαιζήλων· ἐκεῖνος σκώληκά τινα ἐν τῷ φυτῷ τικτόμενον σαθευτὸν ἐπιδειπνεῖ, γλύκιστον, ὡς Ἰνδοὶ λέγουσι λόγοι, καί φασιν οἱ τὴν ἡδονὴν τὴν τοσαύτην ἐκ τοῦ σιτεῖσθαι, καὶ ἐμέ γε αἱροῦσι λέγοντες. Ἐπέκλα δέ οἱ καὶ ἐκεῖνά ἐστι· κύκνων τε ᾠὰ, καὶ τὰ τῶν χερσαίων στρουθῶν καὶ χηνῶν. Τὰ μὲν οὖν ἄλλα οὐ μέμφομαί πω· καὶ κύκνων γε μὴν Ἀπόλλωνι μὲν λατρευόντων, ᾠδικωτάτων δὲ, ὡς ἡ φήμη διαῤῥεῖ, λέγουσα ἐπιβουλεύειν ἐγγόνοις, καὶ διαφθείρειν τὰ ᾠὰ, Ἰνδοὶ φίλοι οὐκ ἔτι.

ΚΕΦ. ιδ΄.

Περὶ τῶν ἐν Λιβύῃ Δορκάδων.

ΛΙβυστίνων γε μὴν περὶ δορκάδων καὶ κεμάδων τῶν ἐκεῖθι εἰπεῖν αἱρεῖ με θυμὸς τὰ νῦν ταῦτα. Ὤκισται μὲν οὖν εἰσιν αἱ δορκάδες, καὶ ὅμως τοὺς ἵππους τοὺς Λίβυας οὐ διαδιδράσκουσι. Λαμβάνονται δὲ καὶ ἄρκυσι. Καὶ οἷς μὲν οὖν καὶ τὴν γαστέρα, καὶ αὐταῖς ἤδε ἡ χρόα ἐς τὰς λαπάρας ἄνεισι· παρ' ἑκάτερα δὲ τῆς νηδύος μέλαιναι ταινίαι καθέρπουσιν αὐταῖς, ξανθαί γε μὴν τὸ λοιπὸν σῶμά εἰσι· μακραὶ τοὺς πόδας, μέλαιναι τὸ ὄμμα, τὴν κεφαλὴν κέρασι κεκοσμημέναι, τὰ ὦτα αὐταῖς εἰσι μήκιστα. Ἥγε μὴν καλουμένη καὶ ὑπὸ τῶν Ποιητῶν κεμὰς δραμεῖν ὠκίστη, θυέλλης δίκην· ἰδεῖν δὲ ἄρα πυῤῥόθριξ καὶ λασιωτάτη, τὴν δὲ οὐρὰν λευκὴν ἔχει· εἴκασαι δὲ τοὺς ὀφθαλμοὺς κυανοῦ βαφῇ, τὰ δὲ ὦτα τριχῶν ἀνάπλεως βαθυτάτων· τὰ κέρατά τε αὐτῆς ἀντία καὶ ὡραῖα, ὡς ἐπιέναι μὲν τὴν θήραν, ἐν αὐτῷ δὲ καὶ φοβεῖν ἅμα καὶ βλάπτεσθαι καλήν. Αὕτη δὲ ἄρα ἡ

Neque modo in terra pedum celeritatem oſtendit; ſed etiam cum in fluvii confluentem inciderit, biſulcis pedum, ut ita dicam, remigans ungulis fluctus perrumpit: et vero in lacubus natare gaudet, unde ſibi paſtum comparat, ſemperque viridia thrya et cyperum depaſcitur; unde et venter ei initio veris evacuatur, poſtquam jam ſuos foetus enutrivit.

CAP. XV.

De piſce, quem Myrum vel Myronem vocant.

PISCEM eſſe accepi nomine myron; unde nomen duxerit, haud equidem ſcio. Eum ipſum eſſe dicunt marinum ſerpentem. Si illius utercunque oculus erutus tanquam amuletum geſtetur, oculum improbe adfectum ex lippitudine ſicca curabit; et ſimul huic alterum renaſci loco eruti aiunt. Oportet autem vivum dimittere, vel fruſtra illius oculum geris amuletum.

CAP. XVI.

De feris Capris Libycis.

CAPRAE ferae in ſummis Libycorum montium verticibus commorantes ad boum magnitudinem accedunt. Ipſarum femora, pectus, cervix, et maxillae denſiſſimis pilis diffluunt; frons rotunda protuberat, tibiis brevibus, oculis ravis ſunt: cornibus poſt primum exortum a ſe invicem averſis, et aberrantibus, et ad latera incurvis: non enim ſimiliter atque aliarum caprarum montanarum recta exſiſtunt, ſed eatenus retorquentur tranſverſa, ut ad armos pertingant, adeo ſunt procera. Ex capris longe maxima ad ſaliendum habilitate ſunt; nam ex ſummis montium cacuminibus, quae paſtorales poetae αἰγίλιπας appellare ſolent, facile in aliud cacumen tranſiliunt. Et tametſi ſaepe earum quaepiam dum

κεμὰς οὐκ ἐπὶ τῆς γῆς μόνης τὴν τῶν ποδῶν ὠκύτητα ἀποδείκνυται· ἀλλὰ ἐμπεσοῦσα ϗ εἰς ῥεῦμα ποταμοῦ, ταῖς χηλαῖς τῶν ποδῶν, ὡς εἰπεῖν, ἐρέττουσα, εἶτα μέντοι διακόπτει τὸ ῥεῦμα· χαίρει δὲ ϗ ἐν λίμνῃ νήξασθαι, ϗ ἐνταῦθά τοι ϗ τροφὴν ἔχει, τεθηλός τε ἀεὶ θρύον ϗ κυπέρου δειπνεῖ· οὐκοῦν ϗ τὴν γαστέρα ἦρος ἀρχομένου πεπληρωμένην ὑπολαπάττει, ϗ ταῦθ' ὅτ' ἂν καθῆκε, ϗ μέντοι ϗ ἐξέθρεψε τὰ ἑαυτῆς βρέφη ἡ κεμάς.

ΚΕΦ. ιέ.

Περὶ τοῦ ἰχθύος, ὃν καλοῦσι Μύρον.

Μύρος δ' ἄρα ϗ ἰχθὺς πυνθάνομαί ἐστιν· ἐξ ὅτου μὲν σπάσαντος τὴν ἐπωνυμίαν ἐκείνου, εἰπεῖν οὐκ οἶδα, κέκληται γοῦν ταύτῃ. Λέγουσι δὲ αὐτὸν εἶναι θαλάττιον ὄφιν. Ὀφθαλμὸς δὲ ἄρα ὁ τούτου ὁπότερος οὖν ἐξαιρεθεὶς, ϗ περίαπτον γενόμενος, ἀπαλλάττει ξηρᾶς ἄνθρωπον ὀφθαλμίας· ἔστι δέ φασι τῷδε ἄρα μύρῳ τόδε, ἀναφύεται ὀφθαλμὸς ἕτερος. Δεῖ δὲ αὐτὸν ἀπολῦσαι τὸν ἰχθὺν ζῶντα, ἢ μάτην τὸν ὀφθαλμὸν ἔχων φυλάττεις.

ΚΕΦ. ιϛ.

Περὶ τῶν ἐν Λιβύῃ ἀγρίων Αἰγῶν.

Αἶγες ἄγριοι τὰς Λιβύων ἄκρας ἐπιστείβοντές εἰσι κατὰ τοὺς βοῦς τὸ μέγεθος ἰδεῖν. Τούς γε μὴν μηροὺς, ϗ τὰ στέρνα, ϗ τοὺς τραχήλους κομῶσι θριξὶ δασυτάταις, ϗ σὺν τούτοις ϗ τὴν γένυν τὰ μέτωπα μὲν ἀγκύλοι ϗ περιφερεῖς, ϗ τὰ ὄμματα χαροποὶ, σκέλη δὲ αὐτοῖς ἐστι κολοβά· κέρατα μετὰ τὴν πρώτην συμφυὴν ἀλλήλων ἀπηρτημένα ϗ πλάγια· οὐ γάρ τοι που κατὰ τοὺς ὀρειβάτας αἶγας τοὺς ἄλλους ὀρθά ἐστι, κάτεισι δὲ ἐγκάρσια, ϗ εἰς τοὺς ὤμους προήκοντα, οὕτως ἄρα μήκιστά ἐστιν. Ἐκ δὲ τῶν λόφων τῶν ὑπεράκρων, οὓς ἐπιπλὰς οἵγε νομευτικοὶ φιλοῦσιν ὀνομάζειν ποιητῶν παῖδες, ῥᾳδίως εἰς ἕτερον πάγον πηδῶσιν· ἀλτικώτατοι γὰρ αἰγῶν ἁπάντων οἵδέ εἰσι. Εἴγε

μὴν

dum ex uno vertice in alterum ſaltare contendit, ob nimiam intervallorum diſtantiam per praerupta ſaxa praeceps agitur, nihil tamen laeditur; ſic eſt adverſus ſaxorum duritiem membrorum reſiſtenti firmitate, ut nec cornua frangat, nec caput diminuat; eſt enim durities ipſorum ingens, et ipſarum aemula rupium. In ſummis montibus plurimas, ſolertia quadam captandi caprarii generis, nimirum vel jaculis, vel retibus, vel laqueis, a doctrina artis venaticae inſtructi comprehendunt. Iam in patentium camporum aequoribus quilibet vel tardus pedibus eas, quod ibidem non valent ad fugiendum, capere queat. Earum pelles et cornua aliquot commoditates habent: nam in frigidis tempeſtatibus ad vim frigorum atque hyemem excipiendam paſtoribus, et fabris materiariis, pelles mirifice proſunt; cornua ad hauriendam de praeterfluentium rivorum confluentibus, aut e fontibus, potionem aeſtivo tempore ad depellendam ſitim non minori uſui habentur, quam calices etiam ampli; tanta enim capacitate ſunt, ut ex calore anhelationem, aeſtumque omnem extinguant. Ab homine expoliendi bene perito cornu intrinſecus politum tres menſuras facile capere poteſt.

C A P. XVII.

De Teſtudine montana Libyca.

SVNT et teſtudines in Libya, eaeque montanae, et adſpectu criſpiſſimae, quarum teſta barbitis eſt accommodata.

C A P. XVIII.

De Hippomane.

CVM equa peperit, carunculam una cum pullo enatam, alii in fronte inſitam eſſe, alii ad lumbos, alii ad genitalia adhaereſcere aiunt; quam ſane hippomanes nuncupatam equa continuo

μὴν ϗ πέσοι τις, πορρωτέρω τȣ̃ ὑποδεξομένȣ ὄντος αὐτὸν, ἢ ὡς ἐκεῖνον ἐφικέσθαι, τὸ δὲ ἄρα μελῶν παρίεσι τοσȣ̃τον κράτος, ὡς ἀσινῆ μένειν καἰενεχθέντα αὐτόν· θραύει γȣ̃ν ȣ̓δὲ ἕν, εἰ ϗ πέσοι κατὰ ῥωγάδος, ȣ̓ κέρας, ȣ̓ βρέγμα· ἔςι δὲ καρτερὰ ϗ προσομοία ταῖς πέτραις ἀντιτυπία. Οἱ πλεῖςοι μὲν ȣ̓̃ν τȣ́των ἐν ταῖς ἀκρωρείαις αὐταῖς ἄρκυσι, ϗ ἀκοντίοις, ϗ ποδάγραις αἱρȣ̃νται, σοφίᾳ δὲ ἄρα τῇτε ἄλλῃ κυνηγέταις ἀνδράσι, ϗ γȣ̃ν ϗ ἀποθηρίασιν. Θηρῶνται δὲ ϗ ἐν πεδίοις, ϗ φυγεῖν ἐνταῦθα ἀσθενεῖς εἰσιν· αἱρήσει γȣ̃ν αὐτȣ̀ς ϗ ὅς τις ἐςὶ βραδὺς τȣ̀ς πόδας. Ἦν δὲ ἄρα ἀγαθὸν ϗ δορά τε ϗ κέρατα· ἡ μὲν δορὰ ἐν χειμῶσι τοῖς σφοδροτάτοις τὸν κρυμὸν ȣ̓ πελάζει ϗ νομευτικοῖς ἄρα, ϗ ὑλȣργοῖς ἀνδράσι· κέρατα δὲ ἐκεῖνα ἀρύσασθαι ϗ πιεῖν ἐκ ποταμȣ̃ παραῤῥέοντος, ἢ πηγῆς τινος ἀνασελλȣ́σης, ἐν ὥρᾳ θερείῳ χρηςὰ, ϗ δίψος ἀκέσασθαι λυσιτελῆ· παρέχει γὰρ ἀμυςὶ πιεῖν τῶν ἀδρῶν κυλίκων μεῖον ȣ̓δὲν, ἕως ϗ αὔξειν τὸ ἆσθμα, ϗ σβέσαι τὸ ὑπεκκαῖόν τε πᾶν ϗ τὸ ἀναφλέγον. Οὐκȣ̃ν εἰ τὰ ἔνδον καθαρθείη ὑπό τινος ξέειν εἰδότος κερατοφόρȣ, ϗ τρία μέτρα ῥᾳδίως αὐτοῖν δέξεται τὸ ἕτερον ἄν.

ΚΕΦ. ιζ΄.

Περὶ τῆς ἐν τῇ Λιβύῃ Χελώνης τῆς ὀρείȣ.

Εἰσὶ δὲ ἄρα ϗ χελῶναι θρέμμα Λιβύης, ȣ̓λόταται ὅσα ἰδεῖν, ὄρειοι δὲ αὗται, ϗ ἔχȣσι τὸ χελώνειον εἰς βάρβιτα ἀγαθόν.

ΚΕΦ. ιή.

Περὶ τȣ̃ καλȣμένȣ Ἱππομανȣ̃ς.

Ἵππος ὅταν τέκῃ, τȣ̃ βρέφȣς ἐκπεφυκυῖαν σάρκα ȣ̓ πολλὴν, ἀλλὰ ὀλίγην, ἀπηρτῆσθαι οἱ μὲν κατὰ τȣ̃ μετώπȣ φασὶν, οἱ δὲ κατὰ τῆς ὀσφύος, ἄλλοι γε μὴν κατὰ τȣ̃ αἰδοίȣ· ταύτην ȣ̓̃ν ἀποτραγȣ̃σα ἀφανίζει, καλεῖται δὲ τὸ σαρκίον τȣ̃το ἱππομανές.

tinuo devorat. Id autem fit naturae quadam benignitate misericordi in equinam stirpem; ne si, ut ferunt, idipsum usque ad extremum vitae diem pullus semper insitum in se perseveraret habere, insana veneris cupidine, tam mas quam foemina accenderetur. Et forsan Equestris sive Neptuni sive Minervae munus hoc fuerit, ad conservandam equini generis successionem, ne libidinis rabie funditus periret. Quod quidem ipsum penitus cognitum pastores habent, ac si quando ad moliendas alicui amatorias insidias egeant, ut ipsum ad cupidinem veneris inflamment, diligenter observant, quando equa ventrem ferens pariat, atque statim a partu pullium a pullo abscindunt, et in equae ungulam injiciunt (nam in hanc solum abditum et conditum optime servatur) simul et pullum, quod ipsum postea non lactaret mater illo insigni et propria benevolentiae nota carentem, exorienti soli immolant; nam ideo pullum mater vehementer amare ingreditur, quod illam devorarit caruncularn. Iam quicunque per insidias carnem illam gustaverit, insana libidine constrictus tenetur, ardet, et vociferatur; atque effrenatus ad amores etiam turpissimos, et quantumvis deformem annosamque mulierem, cupiditatis adjicit oculos, ac morbum testans obviis omnibus, quemadmodum conflagret amoris flamma, exponit; tum ex eo illius corpus diffluit et extabescit, ac veneris insania animus exagitatur. Equam Olympiae ex aere excitatam esse accepi, ad cujus conspectum equi libidinose adhinniant, ac amoris furore incitati cum ea gestiant venereo complexu implicari, quod abstrusa quadam artificis machinatione hippomanes reconditum intra aeream statuam equos alliciat; neque enim esse tam diligentem fabricam, ut ex ea equi eatenus falli et induci possint, ut tantopere ad illius conspectum in venerem stimulari deberent. Quod sive verum sive falsum est, ita ut accepi, literis mandavi.

CAP.

μανές. Οἴκτῳ δ' ἄρα τῆς φύσεως, καὶ ἐλέῳ ἐς τοὺς ἵππους, δρᾶται τοῦτο· εἰ γὰρ ἀεί φασι καὶ διὰ τέλους προσήρτητο ἐκεῖνο, εἰς οἶστρον ἂν ἀκατασχέτου μίξεως ἐξέπιπτον οἵτε ἄῤῥενες, καὶ αἱ θήλειαι αὐτῶν. Ἔστω δὲ καὶ εἰ δοκεῖ ἱππίου Ποσειδῶνος ἢ Ἀθηνᾶς Ἱππίας τοῦτο δῶρον ἵπποις δοθέν, ἵνα αὐτοῖς τὸ γένος διαμένῃ, μὴ δὲ ἀφροδισίων λύττῃ διαφθείρηται. Ἴσασι δ' ἄρα ἱπποφορβοὶ τοῦτο εὖ καὶ καλῶς, καὶ ἐάν ποτε δεηθῶσι τοῦ προειρημένου σαρκίου εἰς ἐπιβουλήν τινος, ὡς ἐξάψαι οἱ ἔρωτα, τὴν ἵππον κύουσαν παραφυλάττουσι, καὶ ὅταν τέκῃ παραχρῆμα ἁρπάζουσι τὸ πωλίον, καὶ ἀποκόπτουσι τὴν προειρημένην σάρκα, καὶ εἰς ὁπλὴν ἐμβάλλουσιν ἵππου θηλείας (ἐνταυθοῖ γὰρ καὶ μόνως ἂν φυλαχθείη καλῶς καὶ ἀποθησαυρισθείη) τὸν δὲ πῶλον ἀνίσχοντι τῷ ἡλίῳ καταθύουσιν· οὐ γὰρ ἔτι θηλάζει ἡ μήτηρ αὐτὸν τὸ γνώρισμα ἀφῃρημένον, καὶ τῆς εὐνοίας οὐκ ἔχοντα τὴν ὑπόθεσιν, ἐκ γάρ τοι τοῦ κατατραγεῖν τὴν σάρκα ἡ μήτηρ φιλεῖν τὸ βρέφος ἰσχυρῶς ἄρχεται. Ὅστις δ' ἂν κατά τινα ἐπιβουλὴν ἀνὴρ ἐκείνου γεύσηται τοῦ σαρκίου ἔρωτι καὶ μάλα γε ἀκρατεῖ συνέχεται, καὶ ἐμφρύγεται, καὶ βοᾷ· καὶ ἀκατασχέτως ὁρμᾷ καὶ ἐπὶ παιδικὰ αἴσχιστα, καὶ ἐπὶ γυναῖκα ἀφήλικα καὶ ἀπρόσωπον, καὶ μαρτύρεται τὴν νόσον, καὶ τοῖς ἐντυχοῦσιν, ὅπως ἐξοίστρηται, λέγει· καὶ λείβεται μὲν τὸ σῶμα καὶ φθίνει, ἐλαύνεται δὲ τὴν ψυχὴν ἐρωτικῇ μανίᾳ. Ἀκούω τοίνυν καὶ ἐν Ὀλυμπίᾳ τὴν ἵππον τὴν χαλκῆν, ἧς ἐρῶσιν ἵπποι, καὶ ἐπιβαίνονται, καὶ ἐγχρίπτεσθαι ἐθέλουσι, καὶ χρεμετίζουσι θεασάμενοι χρεμέτισμα ἐρωτικόν, ἔχειν τὴν ἐκ τοῦδε τοῦ ἱππομανοῦς ἐπιβουλὴν τὴν ἐν τῷ χαλκῷ γεγοητευμένῳ λανθάνουσαν, καὶ κρυφίῳ τινὶ μηχανῇ τοῦ τεχνίτου ἐπιβουλεύειν ἐν τῷ χαλκῷ τοῖς ζῶσι· μὴ γὰρ εἶναι τοσαύτην ἀκρίβειαν, ὡς οὕτως ἐξ αὐτῆς ἀπατᾶσθαι καὶ ἐξοιστρεῖσθαι τοὺς ἵππους τοὺς ὁρῶντας. Καὶ ἴσως λέγουσί τι οἱ λέγοντες, ἴσως δὲ οὐδὲν λέγουσι· ἃ δ' οὖν ἤκουσα, καὶ ὑπὲρ τούτων εἶπον.

CAP. XIX.

De lacu ferventi in Africa, et Pisces nutrienti.

In Africa ferventis aquae lacus esse dicitur, in quo pisces et vivere et natare, et ad objectum cibum adsilire aiunt; ac si quis in frigidam eos injecerit, auditione accepi ipsos interire.

CAP. XX.

De ventre Hippocampi.

Rei piscatoriae bene periti homines dicunt, hippocampi ventrem in vino decoctum si quis dederit cuipiam bibere, eum multo aliter et insolentius quam ex aliis venenis adfici; primo ex ea potione acerrimo singultu laborare, deinde tussire, et sicca quidem tussi vehementer torqueri, nihil interim excreare; sed et superiorem ei ventrem intumescere, et calidas fluxiones in summum caput efferri, et vero per nares rursus tenues et aquosas defluere, ac pisculentum odorem reddere; simul et oculos ejus sanguine suffusos igneo colore flagrantes videri, et eorundem oculorum genas inflari, et vomendi quidem cupiditate ardere, verum nihil emittere ferunt. Quod si natura etiam evicerit, id tamen mortis esse signum, et hominem mox in oblivionem et dementiam incurrere: sin in ventrem inferiorem delapsum fuerit, nihil horum jam fieri, omnino tamen hominem e vita excedere. Ex morte porro qui evadunt, mente capti aquam summo studio persequuntur; hanc enim ipsam idcirco expetunt aspicere, tum stillantem audire, quod sane eis aegritudinis levationem adferat, et somnum conciliet. Itaque ad perennes fluvios, aut ad litora, aut juges fontes, aut lacus commorationes eis gratae sunt et jucundae; cum tamen non magnopere desiderent bibere, sed natare, et pedes aqua madefacere, et

abluere

ΚΕΦ. ιθ΄.

Περὶ τῆς ἐν τῇ Λιβύῃ ζεούσης Λίμνης, καὶ τρεφούσης Ἰχθῦς.

ΛΕγεται δὲ ἐν τῇ Λιβύῃ λίμνη εἶναι ζέοντος ὕδατος, καὶ ἐν τῷδε τῷ ὕδατί φασιν ἰχθύας ζῆν, καὶ νήχεσθαι, καὶ τροφῆς ἐμβληθείσης ἀναπάλλεσθαι πρὸς τὴν τροφήν· εἰ δέ τις αὐτοὺς εἰς ὕδωρ ἐμβάλῃ ψυχρὸν, ὅτι ἀποθνήσκουσι, καὶ τοῦτο προσακήκοα.

ΚΕΦ. κ΄.

Περὶ τῆς τοῦ Ἱπποκάμπου γαστρός.

ΛΕγουσι δὲ ἄνδρες ἁλιεῖς ἐπισήμονες, τὴν τοῦ ἱπποκάμπου γαστέρα εἴτις ἐν οἴνῳ κατατήξει ἕψων, καὶ τοῦτο δοίη τινὶ πιεῖν, φάρμακον εἶναι τὸν οἶνον ἄηθες ὡς πρὸς τὰ ἄλλα φάρμακα ἀντικρινόμενον· τὸν γάρ τοι πιόντα αὐτοῦ πρῶτα μὲν καταλαμβάνειν λυγγὶ σφοδροτάτῃ, εἶτα βήττειν ξηρὰν βῆχα, καὶ στρεβλοῦσθαι μὲν, ἀναπλεῖν δὲ αὐτῷ οὐδὲ ἓν, διογκοῦσθαι δὲ καὶ διοιδαίνειν τὴν ἄνω γαστέρα, θερμά τε κεφαλῆς ἐπιπολάζειν ῥεύματα, καὶ διὰ τῆς ῥινὸς κατιέναι λεπτὰ, καὶ ἰχθυηρᾶς ὀσμῆς προσβάλλειν· τοὺς δὲ ὀφθαλμοὺς ὑφαίμους αὐτῷ γίνεσθαι καὶ πυρώδεις, τὰ βλέφαρα δὲ διογκοῦσθαι, ἐμέτων δὲ ἐπιθυμίαν ἐξάπτεσθαί φασιν, ἀναπλεῖ δὲ οὐδέν. Εἰ δὲ ἐκνικήσῃ ἡ φύσις, τὸ μὲν εἰς θάνατον σφαλερὸν παριέναι, εἰς λήθην δὲ ὑπολισθαίνειν καὶ παράνοιαν· ἐὰν δὲ εἰς τὴν κάτω γαστέρα διολισθῇ, μηδὲν ἔτι εἶναι, πάντως δὲ ἀποθνήσκειν τὸν ἑαλωκότα. Οἱ δὲ περιγενόμενοι εἰς παράνοιαν ἐξοκείλαντες, ὕδατος ἱμέρῳ πολλῷ καταλαμβάνονται, καὶ ὁρᾶν διψῶσιν ἀκούειν αὐτοὺς, καὶ ἀκούειν λειβομένου· καὶ τοῦτό γε αὐτοὺς καταβαυκαλᾷ, καὶ κατανυστάζει. Καὶ διατρίβειν φιλοῦσιν ἢ παρὰ τοῖς ἀενάοις ποταμοῖς, ἢ αἰγιαλῶν πλησίον, ἢ παρὰ κρήναις, ἢ λίμναις τισί· καὶ πιεῖν μὲν οὐ πάνυ γλίχονται, ἐρῶσι δὲ νήχεσθαι, καὶ τέγγειν τὼ πόδε,

abluere manus, eis plurimum jucunditatis adfert. Sunt, qui non haec mala dicant hujus beſtiae ventrem creare; ſed hippocampum algam peramaram, ex qua ita adficiatur, depaſci. Veruntamen ſolertia veterani piſcatoris, et ad res maritimas bene prudentis, ſalutaris etiam repertus eſt hippocampus; is et Cretenſis erat, et filios adoleſcentes piſcatores etiam habebat. Accidit autem, ut hic piſcator hippocampos ſimul cum aliis piſcibus caperet, et adoleſcentes a rabida canicula morderentur; unus ex eis primum, deinde etiam ceteri, dum fratri adeſſe et opem ferre conantur. Cum vero eorum in Methymna Cretica (quem vicum eſſe aiunt) ad litus jacentium vicem dolentes ſpectatores interficiendam caniculam cenſerent, et illius jecur medicamentum ad rabiem edendum juvenibus dandum eſſe; alii conſulerent a Diana Rhoccaea ſalutem petendam eſſe: ſenex piſcator eos de conſiliis, quae adferrent, laudatos dimiſit, et hippocamporum diligenter exenteratorum, ventriculo et inteſtinis abjectis, alios aſſos eis comedendos dedit; alios cum aceto et melle contrivit, eoque cataplaſmate morſus ulcera obligavit; atque filiorum adoleſcentium, excitato in ipſis per hippocampos aquae deſiderio, rabiem vicit, eoſque ad incolumitatem, quamvis ſero, reſtituit.

C A P. XXI.

De Canibus fluviatilibus.

De canibus marinis non pauca in praecedentibus attuli. Fluviatiles vero caniculae ſpecie referunt terreſtres parvos, et caudam quoque hirſutam habent. Sanguis earum ex poſca illitus intumeſcentes hominum nervos mitigare dicitur. Ex pelle calcei fiunt commodi, et ipſi utiles nervis, ut aiunt.

C A P.

ἢ ἀπονίπτειν τὼ χεῖρε. Οἱ δὲ ἐκ αὐτὴν τὴν τοῦ ἱπποκάμπου γαστέρα τούτων αἰτίαν εἶναί φασιν· ἀλλὰ νέμεσθαί τι φυκίον τὸ ζῶον πικρὸν δεινῶς, ἐξ οὗ τὴν ποιότητα εἰς ἐκείνην μεταχωρεῖν. Εὑρέθη δὲ ἄρα καὶ εἰς σωτηρίαν ἱππόκαμπος ἐπιτήδειον αἰγινοίᾳ παλαιοῦ μὲν ἁλιέως, σοφοῦ δὲ τὰ θαλάττια· ἦν Κράης ἁλιεὺς γέρων, καὶ παῖδας νεανίας εἶχε, καὶ τούτους ἁλιέας. Οὐκοῦν συνηνέχθη τὸν μὲν πρεσβύτην ἱπποκάμπους θηρᾶσαι μετὰ καὶ ἄλλων ἰχθύων, τοὺς δὲ νεανίας δηχθῆναι ὑπὸ κυνὸς λυττώσης, τῷ πρώτῳ δηχθέντι τῶν ἄλλων ἀμυνόντων, καὶ τῷ αὐτῷ πάθει περιπεσόντων. Οἱ μὲν οὖν ἐκεῖνο Μηθύμνης τῆς Κρητικῆς πρὸς ταῖς ἠϊόσιν (ἔστι δὲ αὕτη κώμη, ὥς φασιν) οἱ δὴ θεώμενοι συνήλγουν τῷ πάθει, καὶ τὴν κύνα ἀποκτεῖναι προσέταττον, καὶ τὸ ἧπαρ δοῦναι τοῖς νεανίαις ὡς φάρμακον τοῦ κακοῦ, καταφαγεῖν· οἱ δὲ ἐκ τῆς Ῥοκκαίας οὕτω καλουμένης Ἀρτέμιδος ἄγειν, καὶ αἰτεῖν ἴασιν παρὰ τῆς θεοῦ· ὁ δὲ γέρων, καὶ μάλα ἀδεῶς τε καὶ ἀτρέπτως, ταῦτα μὲν ἐπαινῶν τοὺς συμβουλεύσαντας εἴα, τῶν δὲ ἱπποκάμπων τὰς γαστέρας ἐκκαθάρας, καὶ ἐκβαλὼν, τοὺς μὲν ὤπτησε καὶ ἔδωκεν αὐτοῖς προσενέγκασθαι· τοὺς δὲ συντρίψας εἰς ὄξος καὶ μέλι, καὶ τὰ ἕλκη περιπλάσας τούτοις τὰ τοῦ δήγματος, εἶτα τῆς τῶν νεανιῶν ἐκράτησε λύττης τῷ πόθῳ τοῦ ὕδατος, ὅνπερ οὖν οἱ ἱππόκαμποι αὐτοῖς ὑπεξῆπτον· καὶ τόνδε τὸν τρόπον τοὺς παῖδας ἰάσατο, ὀψὲ μέν τοι.

ΚΕΦ. κά.

Περὶ τῶν Κυνῶν τῶν ποταμίων.

Ὑπὲρ οὖν θαλαττίων μὲν κυνῶν εἴρηται ἡμῖν καὶ πολλά. Κύνες δὲ οἱ ποτάμιοι ἰδεῖν μέν εἰσι κατὰ τοὺς κύνας τοὺς χερσαίους τοὺς μικροὺς, λάσιοι δέ εἰσι καὶ τὴν οὐράν. Λέγονται δὲ τῷ μὲν αἵματι νεῦρα ἀνθρώπων διοιδαίνοντα πραΰνειν, ἢ ἔχειν ὕδατι καὶ ὄξει ἀναμιχθέντι. Ἡ δορὰ δὲ ὑποδήματα δίδωσιν ἀγαθὰ, καὶ ταῦτα νεύρων χρηστὰ, ὥς φασιν.

C A P. XXII.

De Thymallo pisce.

PISCEM thymallum, sic nuncupatum, Ticinus fluvius Italiae procreat; is ad cubiti magnitudinem accedit, et lupi et mugilis mediam speciem similitudinemque gerit. Ejus capti odor dignam admirationem habet; non enim ut ceteri pisces pisculentum quendam mittit odorem, existimes vero te ejus gentilem herbam recentem ex terra lectam manibus tenere. Tanta sane odoris suavitate fragrat, ut qui eum ipsum non videt, gratissimam apibus herbam, unde nomen duxit, intus latere putet. Retibus facillime capitur; non item hamatis escarum illecebris: non adipe suis, non serpho, non chama, non alterius piscis intestino, non denique strombi collo; sed solo culice, improba sane bestiola, et noctes diesque homini tum morsu tum strepitu suo molesta, quod hac sola delectetur esca, comprehenditur.

C A P. XXIII.

De Xiphia in Istro, et aliis piscibus.

INITIUM Europaeorum fluminum maximi Istri, ad septentriones ventos sub Alpium radices subjectum contra solis exortum, a non magno fonte nascitur, ubi gens rei equestris perita habitat; deinde simul permulti, tanquam stipantes indigenarum fluviorum regem exoriuntur, et eorum confluens continuatus et perennis est, quorum singulorum nomina eorundem accolae sciunt; ii postquam in Istrum influxerunt, primogenio nomine appellari desistentes Europae fluminum regi de suo nomine decedunt, atque ex eo nominati simul in Euxinum defluunt. In hoc flumine permulti

ΚΕΦ. κβ'.

Περὶ τοῦ ἰχθύος τοῦ καλουμένου Θυμάλλου.

ΘΥμαλλον δὲ ἰχθὺν, οὕτω καλούμενον, τρέφει Τέκηνος, ποταμοῦ δὲ ὄνομα τοῦ Ἰταλοῦ· καὶ μέγεθος μὲν ὅσον καὶ ἐπὶ πῆχυν προήκει, ἰδεῖν δὲ μεταξὺ λάβρακός ἐστι καὶ κεφάλου. Ἄξιον δὲ αὐτοῦ ἑαλωκότος θαυμάσαι τὴν ὀσμήν· οὐ γάρ τι που προσβάλλει ἰχθυηρὸν ἀέρα κατὰ τοὺς λοιποὺς, ἀλλὰ εἴποις ἂν διὰ χειρῶν κατέχειν θύμαλλον νεωστὶ τῆς γῆς τρυγηθέντα. Καὶ οὖν καὶ εὔοσμός ἐστι, καί τις οὐκ ἰδὼν τὸ ζῶον, οἰήσεται πόαν ἔνδον εἶναι, τὴν μάλιστα μελιττῶν τροφὸν τὴν προειρημένην, ἔνθεν τοι καὶ κέκληται. Λίνῳ μὲν αἱρεθείη ἂν ῥᾷστα, δελέατι δὲ καὶ ἀγκίστρῳ οὐχ αἱρήσεις αὐτὸν ῥᾷστα· οὐχ ὑὸς πιμελῇ, οὐ σέρφῳ, οὐ χήμῃ, οὐκ ἰχθύος ἑτέρου ἐντέρῳ, οὐ στρόμβου τένοντι· κώνωπι δὲ αἱρεῖται μόνῳ, πονηρῷ μὲν ζώῳ, καὶ μεθ' ἡμέραν καὶ νύκτωρ ἀνθρώποις ἐχθρῷ καὶ δακεῖν καὶ βοῆσαι· αἱρεῖ δὲ τὸν θύμαλλον τὸν προειρημένον, φιληδεῖ γὰρ αὐτῷ μόνῳ.

ΚΕΦ. κγ'.

Περὶ τοῦ ἐν Ἴστρῳ Ξιφίου, καὶ ἑτέρων Ἰχθύων.

ΥΠΟ τῷ ποδὶ δὲ τῶν Ἀλπέων ὀρῶν πρὸς ἄνεμον βορρᾶν ὑπὸ τῇ ἄρκτῳ οὕτω κέκληται, γένος δὲ τοιοῦτον ἱππικοὶ ἄνδρες, ἐντεῦθέν τοι πρόεισιν ὁ τῶν Εὐρωπαίων ποταμῶν μέγιστος Ἴστρος, ἐκ πηγῆς μὲν οὐ πολλῆς, ταῖς δὲ τοῦ ἡλίου προσβολαῖς ταῖς πρώταις ἀντίος· εἶτα οἱονεὶ δορυφοροῦντες αὐτὸν, ἅτε τῶν ἐπιχωρίων ῥευμάτων βασιλέα, συνανίσχουσιν οἱ πολλοὶ, καὶ ἀέναον τὸ ῥεῦμα αὐτῶν ἐστι, καὶ ἴσασι μὲν ἑκάστου τὸ ὄνομα οἱ περιοικοῦντες αὐτούς· ὅταν δὲ εἰς τὸν Ἴστρον ἐμβάλωσι, τοῖς μὲν ἡ ἀπὸ γενεᾶς ἐπωνυμία πέπαυται, ἀφίσταταί γε μὴν ἐκείνῳ τοῦ ὀνόματος, καὶ ἐξ αὐτοῦ καλοῦνται πάντες, καὶ συνεκβάλλουσιν εἰς τὸν Εὔξεινον. Γίνονται δὲ ἐνταῦθα ἰχθύων

multi et diverſi piſces naſcuntur, coracini, mulli, antacaei, et nigri colore cyprini, item porci, heſychi albi, percae, et gladii, qui convenientiſſimum nomen habent: cum enim omni reliquo corpore teneri ſunt, et tactu mites; tum dentes eorum nec admodum curvi, neque immanes ſpectantur; neque ſic horret ſpina in dorſo, quemadmodum delphinorum, nec in cauda: ſed quod magnam vel audientium vel videntium admirationem moveat, ſub ipſis naribus, qua reſpirant, et aqua ad branchias eis influit ac refluit, in mucronem roſtrum procedit, et in rectum porrigitur, ſenſimque et leniter in longitudinem et craſſitudinem augetur; et dum ad cetaceam magnitudinem piſcis excreſcit, illius etiam mucro tandem vel triremis roſtro comparari poteſt. Neque modo cum cibi inopia urgetur, mucronati roſtri incurſu piſces interficit atque exeſt; ſed etiam maxima cete propellit et ulciſcitur, non quidem armis ex ferro confectis, ſed natura comparatis; ut ii, qui magnitudine proceſſerunt, contra navem, mucronem in eam defigentes, venire audeant. Quidam gloriantur ſe ſpectaviſſe navem Bithynicam in litus extractam, ut carina ejus jam vetuſtate fatiſcens reſarciretur, atque in ea gladii caput adfixum inſpexiſſe, cujus cum in navem mucronem ſuum defixiſſet, et nullis viribus ipſum retrahere quiviſſet, corpus quidem reliquum a cervice avulſum fuerit, roſtrum vero infixum, ut a principio inhaeſerat, remanſerit. Capitur in mari et Iſtro, nam et ſalſa et dulci aqua delectatur.

CAP. XXIV.

De Alga marina magnitudine myricam referente.

CANICVLAE et alia maris alumna animalia, quibus audaciam natura inſevit, cum ſummus per aeſtatem calor viget, ad litora ſe recipiunt, et verſus praecipitia natant, et expoſita

γένη διάφορα, κορακῖνοί τε, καὶ μυαλοὶ, καὶ ἀντακαῖοι, καὶ κυπρῖνοι μέλανες οὗτοι, καὶ χοῖροί τε, καὶ ἥσυχοι ἰδεῖν λευκοὶ, πέρκαι τε ἐπὶ τούτοις, καὶ ξιφίαι· πρέπουσι δὲ τῷ ὀνόματι οἱ ἰχθύες οἵδε, καὶ τὸ μαρτύριον, τὸ μὲν ἄλλο πᾶν σῶμα ἁπαλοί τ' εἰσι, καὶ ἄλυποι προσαπτομένῳ· καὶ ὀδόντές οἱ οὐ πάντη σκολιοὶ, οὐδὲ ἀπηνεῖς ἰδεῖν· οὐκ ἄκανθα ἐπὶ τῷ νώτῳ ὀρθή τῳ τῶν δελφίνων ἐκπέφυκεν, οὐ κατὰ τὸ οὐραῖον· ὃ δέ ἐστι θαῦμα καὶ ἀκούσαντι καὶ ἰδόντι, ὑπ' αὐτὴν τὴν ῥῖνα, ἐξ ἧς καὶ ἀναπνεῖ, καὶ τὸ ῥεῦμα αὐτῷ διαῤῥεῖ ἐς τὰ βράγχια, καὶ ἐκπίπτει, εἰς ὀξύ οἱ προήκει ἡ γένυς, καὶ εὐθεῖά ἐστι, καὶ αὐξάνεται κατ' ὀλίγον εἰς μῆκός τε καὶ πάχος· καὶ κηλουμένῳ τῷ ἰχθύϊ συνεπείγεται καὶ ἐκείνη, καὶ ἔοικε τριήρους ἐμβόλῳ. Καὶ διὰ πορείας ἐμπίπτων ὁ ξιφίας ἰχθῦσι, καὶ ἀποκτείνας, εἶτα θοινᾶται, καὶ ἀμύνεται δὲ τῷ αὐτῷ τὰ μέγιστα τῶν κητῶν· καὶ ἀχάλκευτόν γε τοῦτο τὸ ὅπλον προσπέφυκέν οἱ, καὶ τέθηκται φύσει· οὐκοῦν οἵδε οἱ ξιφίαι εἰς μέγεθος προήκοντες ἔρχονται καὶ νεὼς ἀντίον. Καὶ νεανιεύονταί γέ τινες λέγοντες ναῦν Βιθυνίδα ἰδεῖν ἀνασπωμένην, ἵνα αὐτῇ πονήσασα ὑπὸ γήρως ἡ τρόπις τύχῃ τῆς δεούσης κομιδῆς, οὐκοῦν προσηλωμένην θεάσασθαι τὴν τοῦ ξιφίου κεφαλὴν, αὐτοῦ τοῦ θηρὸς ἐμπήξαντος μὲν τῷ σκάφει τὴν αἰχμὴν τὴν συμφυῆ, ἀποσπᾶσαί τε αὐτὸν πειρώμενον ὑπὸ τῆς ῥώμης τῆς πολλῆς, ἐνσχεθῆναι μὲν ὑπὸ τοῦ τένοντος τὸ πᾶν σῶμα, τὴν δὲ ἀπομεῖναι πεπηγμένην, ὡς ἐνέπεσεν ἐξ ἀρχῆς. Θηρᾶται δὲ οὗτος ἄρα καὶ ἐν τῇ θαλάττῃ καὶ ἐν τῷ Ἴστρῳ, χαίρει δὲ καὶ πικρῷ ὕδατι καὶ γλυκεῖ ῥεύματι.

ΚΕΦ. κδ'.

Περὶ τοῦ θαλαττίου φύκους τοῦ ἰσομεγέθους τῇ μυρίκῃ.

Θέρους ἐνακμάζοντος τοῦ σφοδροτάτου, οἱ θαλάττιοι κύνες καὶ τὰ ἄλλα ζῷα, οἷσπερ οὖν ἐστι συμφυὴς ἡ τόλμα, ἔς τε τοὺς αἰγιαλοὺς παραβάλλει, καὶ εὐθὺ τῶν κρημνῶν ἔρχεται, καὶ

ſita fluctibus promontoria ſubeunt, et anguſtis profundiſque fretis ſeſe inſinuant; refugiunt enim pelagus, et, quae in eo ſunt paſcua, eo tempore negligunt. Naſcitur autem genus quoddam algae [ſeu fuci] in petris profundis, quae magnitudine myricam, fructu papaver refert. Fructus reliquo anni tempore occluſus, ſolidusque, et oſtrei inſtar durus eſt; dehiſcit autem ab aeſtivo ſolſtitio, ut calices roſarum. Exterior pars fructus, nempe cruſta quaedam ſive membrana, teſtae vel oſtrei modo dura, et viſu quam maxime flava, interiorem, cui color caeruleus, ſubſtantia mollis, et tanquam veſicae inflatae pellucida, valli modo ambit ac munit; et ex hac [interiore parte] noxium ſtillat venenum. Emittit autem noctu igneum quendam, et veluti ſcintillantem ſplendorem; et, oriente jam Sirio, veneni vehementia creſcit. Quamobrem piſcatorum natio omnis, quae pancynicum hanc ſtirpem appellat, a Canis ortu venenum hoc gigni arbitrantur. Porro canes marini ad igneum iſtum in hac marina myrica floris ſplendorem, tanquam inopinati alicujus lucri ſpe allecti, veneno partim adſperſi, partim devorato, et branchiis etiam hauſto, extincti fluitant. Vnde his in rebus exercitati homines venenum ſecundarium ex piſcium iſtorum tum ore, tum partibus ceteris, colligunt; idque utile eſt, quemadmodum etiam terreſtris aglaophotis, quam etiam cynoſpaſtum appellarunt: quare autem haec herba ita dicta ſit, ſi exponere meminerim, ex ſequentibus intelligetis.

CAP.

τὰς ῥοώδεις ἄκρας ὑποτρέχει, καὶ ἐς τοὺς στενοὺς καὶ βαθεῖς εἰσνήχονται πορθμούς· φεύγουσι δὲ τὰ πελάγια ἤθη, καὶ τῆς ἐκεῖ νομῆς τηνικάδε τῆς ὥρας ὑπερορῶσι. Γίνεται δὲ ἄρα τι φῦκος ἐν τοῖς ἕρμασι τοῖς βαθέσι, καὶ τὸ μέγεθος αὐτῷ κατὰ τὴν μυρίκην ἐστὶ, φέρει δὲ καρπὸν τῇ μήκωνι προσεμφερῆ. Καὶ τῶν μὲν ἄλλων ὡρῶν τοῦ ἔτους μέμυκε, καὶ ἔστιν ἀντίτυπος καὶ στερεὰ φύσει ὀστρέου· ἁπλοῦταί γε μὴν μετὰ τὰς τροπὰς τὰς θερινὰς, ὥσπερ οὖν αἱ ἐν ῥοδωνιαῖς κάλυκες. Καὶ τὸ μὲν περικείμενον ἔλυτρον φρουρεῖ τὸ ἔνδον, καὶ δίκην ἕρκους ὀστρακῶδες ὂν περιέρχεται, ἰδεῖν γε μὴν ξανθότατόν ἐστι· τὸ δὲ ὑπὸ τούτῳ τῷ χιτῶνι κυάνεόν ἐστι χρόᾳ καὶ χαῦνον, ὥσπερ οὖν πεπρημένη κύστις, διαυγὴς ἄγαν· λείβεταί τε ἐξ αὐτῆς πονηρὸν φάρμακον. Καὶ νύκτωρ μὲν ἐκπέμπει τοῦτο αὐγὴν, πυρὶ ἐοικυῖαν, καί τινας ἀφίησι μαρμαρυγάς· ὑπανατέλλοντος δὲ τοῦ Σειρίου, ἔτι καὶ μᾶλλον κατισχύει ἡ τοῦ φαρμάκου κακία. Καὶ ἐντεῦθεν ὅσον ἐστὶν ὑδροθηρικὸν παγκύνικόν οἱ ὄνομα θέμενοι, εἶτα οἴονται τὴν τοῦ ἄστρου ἐπιτολὴν τίκτειν αὐτό. Οἱ θαλάττιοι δ᾽ οὖν κύνες πρὸς τὴν νύκτωρ τοῦ ἄνθους φαντασίαν τὴν φλογώδη εἶτα ἐμπεσόντες, ὥσπερ οὖν εἰς ἕρμα τὴν ἔναλον μυρίκην τήνδε, τοῦ φαρμάκου τοῦ μὲν καταλούσαντος αὐτοὺς, τοῦ δὲ καταποθέντος, καὶ ἑτέρου διὰ τῶν βραγχίων αὐτοῖς εἰσθορόντος, εἶτα μέντοι τεθνήκασι, καὶ παραχρῆμα ἀναπλέουσιν. Οἱ τοίνυν δεινότατοι τὰ τοιαῦτα ἀνιχνεύειν τοῦδε τοῦ φαρμάκου ἐκ τῶν κητῶν τῶν προειρημένων, τὸ μὲν ἐκ τῶν μελῶν τῶν λοιπῶν, τὸ δὲ ἐκ τοῦ στόματος τοῦ θηρὸς, φάρμακον ἀθροίζουσι δεύτερον· καὶ καλὸν τοῦτο τῆς καλουμένης χερσαίας ἀγλαοφώτιδος, ὄνομα δὲ αὐτῇ ἄρα ἔθεντο καὶ κυνόσπαστον· καὶ τίς ἡ αἰτία, ἐὰν ὑπομνησθῶ εἰπεῖν, εἴσεσθε εἰσαῦθις.

CAP. XXV.
De Piſcium in Myſia captura.

MYSI, non ii qui Telephi Pergamum incolunt, ſed inferiores, qui ad Pontum, quique vicinorum Scytharum incurſiones propulſant, et ſuis viribus praedictam regionem defendunt; ea prope Heracleam eſt, et circa Naxium flumen prope Tomin civitatem; eodem in loco Medeam, Aeëtae filiam, impium illud adverſus Abſyrtum fratrem facinus perpetraſſe, nefarium ſane Colchidis veneficae inter alia crimen, incolae Myſi, Graecis commemorant: hi, inquam, piſcandi rationem obſervant hujuſmodi. Iſtrianus natione piſcator ad Iſtri ripam boum par impellit, non ad arandum iis opus habens. Nam quemadmodum, ut in ſermonem hominum venit, nulla bovi communitas cum delphino intercedit; ſic piſcatoris manibus unde amicitia cum aratro? Quod ſi equorum par adſit, iiſdem utitur; et jugum ipſe humeris gerens, iſtic accedit, ubi commodam ſibi et ſedem et piſcationem fore arbitratur; atque ad ripam jumentis pabulum apponit, unde interea haec complentur, dum ipſe funis bene firmi, et ad trahendum idonei, alterum caput ad medium jugum alligat; ex altero capite hamum appendit validiſſimum illum acutiſſimumque, quem aſſo tauri pulmone inſtructum ad illiciendum Iſtrianum ſilurum ſuaviſſimam ei eſcam dejicit; poſtquam ex linea, ad quam hamus alligatus eſt, quantum ſatis ſit plumbi, ad moderandum tractum appendit. Vbi ſilurus bubulae eſcae ſenſum percepit, ſtatim eſcam appetens, eaque, quae deſiderabat, abunde nactus, hamum incaute totis faucibus

ΚΕΦ. κέ.

Περὶ τῆς τῶν Ἰχθύων θήρας τῶν ἐν Μυσίᾳ.

Μυσοὶ δὲ, οὐχ οἱ τοῦ Τηλέφου τὸ Πέργαμον κατοικοῦντες Μυσοὶ, ἀλλ' ἐκείνους τοὺς πρὸς τῷ Πόντῳ μοι νόει τοὺς κάτω, οἵπερ οὖν καὶ τῇ γῇ τῇ Σκυθίδι προσοικοῦσι, τὰς ἐκείνων ἐπιδρομὰς ἀνείργοντες, καὶ τῇ ῥώμῃ τὸν χῶρον τὸν προειρημένον φρουροῦντες πάντα· Ἡρακλείας πλησίον φημὶ, καὶ τῶν Ναξίου ῥευμάτων τοῦ καλουμένου Τόμεως πλησίον· ἐνταῦθά τοι καὶ τὴν Αἰήτου Μήδειαν οἱ ἐπιχώριοι ὑμνοῦσι τὸ ἔργον ἐκεῖνο ταῖς τῶν Ἀψύρτων τῶν ἀδελφῶν χερσὶ κακαῖς τολμῆσαι, ναὶ μὰ Δία δυστυχῆ φήμην ἐπὶ τῇ Κόλχῳ φαρμακεῖ, πρὸς τοῖς ἄλλοις, τοῖς Ἕλλησι τήνδε ᾄδοντες οἱ Μυσοί· ἀλλ' οὗτοί γε θήραν ἰχθύων ἐκείνην θηρῶσιν. Ἀνὴρ Ἰστριανὸς γένος, τὴν τέχνην ἁλιεὺς, τῆς τοῦ Ἴστρου ὄχθης πλησίον ἐλαύνει βοῶν ζεῦγος, οὔτι που δεόμενος ἀροῦν οὗτος, Ὥσπερ γάρ φησιν ὁ λόγος, μηδὲν εἶναι βοῒ κοινὸν ἅμα καὶ δελφῖνι· οὕτω τοι φιλία χερσὶν ἁλιέων καὶ ἀρότρῳ πόθεν ἂν γένοιτο; Εἰ γοῦν οἱ καὶ ἵππων παρείη ζεῦγος, τοῖς ἵπποις χρῆται, καὶ τὸν μὲν ζυγὸν ὁ ἀνὴρ φέρει κατὰ τῶν ὤμων, ἔρχεται δὲ ἔνθα οἱ δοκεῖ καλῶς ἔχειν ἑαυτὸν καθίσαι, καὶ ἐν καλῷ τῆς ἄγρας εἶναι πεπίστευκε· τῆς οὖν μηρίνθου στερεᾶς οὔσης καὶ ἀγανακτικῆς τὴν μὲν ἀρχὴν ἐξῆψε μέσου τῶν ζώων τοῦ ζυγοῦ, ἄλλην δὲ τροφῆς παρατίθησιν ἢ τοῖς βουσὶν, ἢ τοῖς ἵπποις, οἱ δὲ ἐμπίμπλανται· καὶ ἐκεῖνος τῇ μηρίνθῳ κατὰ θάτερα προσῆψεν ἄγκιστρον ἰσχυρὸν, καὶ μέντοι καὶ τεθηγμένον δεινῶς, περιείρας δὲ ἄρα αὐτῷ πνεύμονα ταύρου τεθηραμένου, αὐτὸ μεθῆκε τροφὴν Ἰστριανῷ σιλούρῳ, καὶ μάλα γε ἡδίστην· ὑπὲρ τοῦ συνδέοντος τὸ ἄγκιστρον λίνου ἐξάψας τὸν ἀρκοῦντα μόλυβδον, οἷον ἐς τὴν ἕλξιν εἶναι ἕρμα αὐτῷ. Ὁ τοίνυν ἰχθὺς ὁπόταν αἴσθηται τῆς ταυρείου βορᾶς, παραχρῆμα κατὰ τὴν ἄγραν ὁρμᾷ· εἶτα ὧν ἱμείρει τούτοις ἐντυχὼν ἀθρόως, καὶ περιχανὼν ἄδην καὶ ἀταμιεύτως, τὴν ἐμπεσοῦσάν οἱ κακὴν δαῖτα εἰς ἑαυτὸν σπᾷ·

εἶτα

faucibus devorat; et nimia gulae aviditate transfixus imprudens, dum ex eo evadere cupit, omnibus viribus funem exagitat. Quod quidem ipsum animadvertens piscator, cum summo gaudio quam mox a sessione exsurgit, et boves equosve admotis stimulis incitat, tanquam arator jam ex piscatore factus (ut qui in fabulis subito personam mutant) ac jumentis cum cetaceo pisce bene robusto luctatio est. Nam hic Istri alumnus omni virium contentione in altitudinem se deprimit, illa contra funem retrahunt; piscis igitur vincitur ex amborum tractu, atque in ripam jugo extrahitur. Diceret sane aliquis Homeri studiosus mulos hoc pacto in Patrocli funere, quod poeta celebrat, quernos advexisse truncos.

CAP. XXVI.

De Piscibus, qui in Istro conglaciante capiuntur; et de Antacaeo.

EST etiam in Istro sinus admodum profundus et latus, et spatioso ambitu mari similis esse videtur; profundissimum autem esse ex eo demonstratur, quod onerariae naves mare transmittentes ad usum accolentium lacum circumnavigant. Itaque tempestatibus cum is quatitur, quemadmodum mare inhorrescit. Sunt etiam in eo insulae et recessus quidam riparum, in quos refugere licet; et crepidines et colles longe eminentes, quibus, cum aestus reciprocatur, fluctus vehementes refringuntur; atque eodem velut in angustias compulsi, in mare redundantes aguntur. Hoc ipsum ineunte hieme fieri solet; tum enim hunc augescentem bo-

reas

εἶτα ὑφ' ἡδονῆς ἐλιττόμενος ὅδε ὁ γάστρις ἑαυτὸν διαλέληθε τῷ προειρημένῳ περιπαρεὶς ἀγκίστρῳ, ϗ ἀποδρᾶναι τὸ ἐμπεσὸν κακὸν διψῶν τὴν μήρινθον, ὡς ἔχει δυνάμεως, ὑποταράττει τε ϗ κινεῖ. Συνίησιν οὖν ὁ θηρατὴς, ϗ ἡδονῆς ὑπερεμπίπλαται, εἶτα τῆς ἕδρας ἀνέθορε, ϗ μεθῆκεν ἑαυτὸν ποταμίων τε ϗ κυνηγεσίων ἐνύδρων, (ὥσπερ δὲ ἐν δράματι ὑποκριτὴς ἀμείψας προσωπεῖον) ὅδε τὼ βόε ἐλαύνει ἢ τὼ ἵππω, ἀλκὴ δὲ ἄρα ϗ ἡ τοῦ κήτους ϗ ἡ τῶν ὑποζυγίων ἀντίπαλός ἐστιν. Ὁ μὲν γὰρ θὴρ ὁ τοῦ Ἴστρου τρόφιμος ἕλκει κάτω, ὅσον πολὺ ἄρα τῆς ἐν αὐτῷ ῥώμης ἔχει, ϗ μέντοι ζεῦγος τὸ ἀνθέλκον ἐκτείνει τὴν μήρινθον· ἀλλά οἱ πλέον οὐδὲ ἓν, τῆς γοῦν ἐπ' ἀμφοῖν ἕλξεως ἰχθὺς ἡττᾶται, ϗ ἀπειπὼν ἕλκεται κατὰ τῆς ἠϊόνος. Εἴποι ἂν Ὁμηρίδης δρυῶν στελέχη ἕλκειν ἡμιόνους τινὰς, ὡς ἐπὶ τῇ Πατρόκλου ταφῇ Ὅμηρος ᾄδει ταῦτα δήπου τὰ ὑμνούμενα.

ΚΕΦ. κϛʹ.

Περὶ Ἰχθύων τῶν ἐν τῷ κρυστάλλῳ τοῦ Ἴστρου θηρωμένων, ϗ περὶ τοῦ καλουμένου Ἀντακαίου.

Ἔστι δὲ ἄρα τῷ Ἴστρῳ ϗ κόλπος οἷος βαθύτατος, ϗ ἔοικε τῇ θαλάττῃ τὴν πολλὴν περίοδον· ϗ μέντοι βάθους εὖ ἥκει ὅδε ὁ κόλπος, ϗ ἐκεῖνο τεκμηριῶσαι ἱκανόν· αἱ ναῦς αἱ φορτίδες, αἱ τὴν θάλασσαν περῶσαι, ϗ ἐνταῦθα κατακολπίζουσι, χρείᾳ τῶν περιοικούντων δηλονότι. Πεφρίκασι δὲ ϗ τοῦτον, ὡς θάλατταν, ὅταν ἀγριαίνηται ὑπὸ τῶν καταπνεόντων ἀνέμων εἰς κύματα ἐξαπτόντων τε αὐτὸν ϗ ἐκμαινόντων. Πεφύκασι δὲ ἄρα ἐν αὐτῷ ϗ νῆσοι, καί τινες μέντοι ϗ τῆς ὄχθης ὑποδρομαὶ, εἰς ἃς ἔστι καταφυγεῖν· ἀλλὰ ϗ ἀκταὶ ϗ ἄκραι προήκουσι, ϗ προσρήγνυται αὐτοῖς, ϗ περισχίζεται κλύδων ἄγριος· ἡνίκα δ' ἂν ἑαυτοῦ μάλιστα ὑποπλησθεὶς, εἶτα εἰς τὴν θάλασσαν οἱονεὶ στενοχωρούμενος ὠθεῖται. Φιλεῖ δ' ἄρα δρᾷν τοῦτο ἤδη τετάρτης ὥρας φθινοπωρινῆς παραδραμούσης, ὑπαρχομένης δὲ τῆς χειμερίου, ϗ ἀκμάσας αὐτὸς πρόεισι πλημμυρῶν·

reas impellit, et concitat: hic adeo duram glaciem defert, ut haec vecturas omneis fustineat; contra acerrimus boreas flans huic refiftit, et undas fuas magno motu, et, ut ita dicam, defiderio in mare exonerare feftinantem non finit, et repulfum cedere cogit. Sic fit, ut glacies in altitudinem deprimatur, ut bene penitus congeletur aqua, ejufque confluens viis occultis infra delabatur; glacies vero campus effe videatur, ac per eam homines accolae vel equis infidentes, vel jugata jumenta agentes, tunc iter faciant. De vulpe, quomodo improba et dolofa haec beftia hujus fluvii, et Thracii Strymonis, glaciem ejufque firmitatem exploret, fupra dixi. Porro Iftri glacies etiam navem onerariam, inter navigandum ei adnafcens, et in ipfo confluente verfantem tantopere circumligat, ut nec paffa vela opus fint, nec proreta fpectet antrorfum, nec gubernator navis gubernacula regat; omnia enim et inftrumenta et navis ipfa glacie conftricta tenentur, nec fane navis effe videtur; non enim amplius fluctibus verberatur; fed in magna planicie tumuli, aut hercle cujufdam fpeculae, vel promontorii fimilitudinem fpeciemque gerit. Tum vectores et nautae exfiliunt in flumine excurrentes, plauftrifque onera fupra glaciem tranfvehunt; donec rurfus, exacta hieme, et flumine ad priftinum reverfo fluendi impetum, ipfum jam Iftrum calcantes boves onera navibus reddant; quae interim in loco manent, ceffantque, donec foluta fuerit glacies, et mirabile gelu adftringentis vinculum laxatum. Eo tempore pifcatores glaciem in orbem ligonibus perfodientes, ubicunque libuerit, puteum excavant, ut vel putei vel maximi dolii os effe videatur. Permulti vero pifces lucis defiderio ex glacie, tanquam ex tecto incumbente, effugere cupientes

μυρῶν· πληθύοντα δ' ἄρα Βορρᾶς ἐπωθεῖ αὐτὸν, καὶ ἐξάπτει κατιέναι ἄγριον· καὶ ὁ μὲν καταφέρει μάλα γε κρυμῶδες καὶ σκληρὸν, ὡς εἰς πλοῦν ἀγώγιμον τὸν καθ' ἑαυτοῦ κρύσταλλον· ὁ δὲ ἀντιπίπτει ὁ Βορρᾶς αὐτῷ καταπνέων σκληρὸν, οὔκουν αὐτὸν ἐκβάλλειν εἰς τὸ πέλαγος ὠδῖνα, ὡς ἂν εἴποις, ἐπιτρέπει, ἀλλ' ἀναθέων καὶ ἀνωθούμενος ἴησιν. Ὁ κρύσταλλος οὖν ἐπινηχόμενός τε καὶ ἀναστελλόμενος ἐς βάθος χωρεῖ, καὶ ἁδρύνεται ἐς πολὺ, καὶ ἐντεῦθεν ὑπορρεῖ μὲν ὁ Ἴστρος τὸ γνήσιον ὕδωρ ὁδοῖς, ὡς ἂν εἴποις, κρυπταῖς· τὸ δὲ ἐπίκτητόν οἱ καὶ νόθον ἐπίκειται πεδίου δίκην, καὶ κατὰ τοῦτο τῆς ὥρας τηνικάδε ὁδοιποροῦσιν οἱ τῇδε ἄνθρωποι κατὰ ζεύγη καὶ μονίππους. Ὁπόσα μὲν οὖν ἐλέγχει τε καὶ βασανίζει τὴν πῆξιν τοῦ ποταμοῦ, καὶ τοῦδε τοῦ Θρακίου Στρυμόνος, τὸ πονηρόν τε καὶ δολερὸν θηρίον ἡ ἀλώπηξ, ἀνωτέρω εἶπον. Ὁ δ' οὖν κρύσταλλος ὁ ἐν τῷ Ἴστρῳ καὶ νηῒ φορτηγῷ κατὰ ῥοῦν φερομένῃ περιστραφεὶς, εἶτα ἐπέδησεν αὐτὴν, καὶ οὔτε ἱστίων ἁπλωμένων ἔτι δεῖ, οὔτε πρωράτης τὰ πρόσω βλέπει, οὔτε ὁ τῆς νεὼς ἄρχων ἐπιστρέφει τοὺς οἴακας· πεπήγασι γὰρ, ἐπεὶ καὶ τὸ πᾶν σκάφος τῷ περικειμένῳ κατείληπται δεσμῷ, καὶ ἔοικεν οὐ μὰ Δία νήσῳ· οὐ γὰρ ἔτι τοῖς κύμασι τύπτεται· ἀλλὰ ἐν πολλῷ πεδίῳ λόφῳ τινὶ ἀνεστῶτι, ἢ καὶ ναὶ μὰ Δία σκοπιᾷ, ἢ ἄκρᾳ. Ἐνταῦθά τοι καὶ οἱ περίνεῳ καὶ οἱ ναῦται ἐκπηδῶσι, καὶ κατὰ τοῦ ποταμοῦ θέουσι, καὶ ἁμάξας ἄγουσι, καὶ τὸν φόρτον μετῆραν ἐπὶ τοῦ τέως ὕδατος· καὶ πάλιν μετὰ τὴν χειμέριον ὥραν τοῦ αὐτοῦ φερομένου σφοδρῶς, παραφέρουσί τε καὶ ἄγουσι τὰ ἄχθη, καὶ τὸν Ἴστρον πατοῦσι βόες· μένει δὲ ἡ ναῦς, ἔς τ' ἂν ὑπανῇ μὲν τὰ τοῦ κρυμοῦ, καμῃ δὲ ὁ κρύσταλλος καὶ λυθῇ, ἐλευθέρα δὲ τοῦ παραδόξου πείσματος ἡ ὁλκὰς ἀπολυθῇ. Ἐντεῦθέν τοι τοῦ καιροῦ καὶ οἱ ἁλιεῖς μακέλλας λαβόντες, ἔνθα αὐτοὺς ἄγει θυμὸς διακόπτουσι τὴν πῆξιν τοῦ ὕδατος, καὶ τάφρον κυκλοτερῆ ἐργάζονται κατιόντες ἐς τὸ ὕδωρ, εἴποις ἂν ἢ φρέατος εἶναι στόμα, ἢ μεγίστου πίθου καὶ πάνυ γάστριδος. Οὐκοῦν ἰχθύες πολλοὶ τὸν κρυμὸν διαδρᾶναι θέλοντες, οἱονεὶ στέγην ἐπικειμένην, καὶ ποθοῦν-

cupientes in apertum os innatant, eodemque frequentes congregantur, ut inter se trudant; ubi ut in stricta scrobe cum permulti alii pisces facile capiuntur, tum plurimi cyprini, et coracini, et percae; et xiphiae, qui necdum confirmata aetate, nec mucronato rostro exsistunt; et antacaei, et ii quidem teneri, nam qui aetate processerunt, ad maximi thunni magnitudinem accedunt. Is sane pinguissimo est abdomine, ut ejus ventrem lactantis scrophae suos foetus ubera dicas; sicque aspero corio tegitur, ut eo perpoliantur hastae; ab illius capitis medio a medulla [cerebro] ipsius ad caudam mollis et stricta membrana pertinet, quam ad assum solem exsiccatam flagellum ad concitanda jumenta efficere possis, nihil enim fere a corio differt. Cum est justa magnitudine, nunquam ad cavum seu puteum glaciei pervenit; sed aut sub saxa subjicitur, aut in imam harenam ad vitandum frigus abditur. Nam id temporis cum gelidum est flumen, et perfrigida tempestas, nullis nec herbis, nec piscibus vesci necesse habet; tantum inertia laboris gaudet, et alitur ex pingui suo succo: et quemadmodum polypi, cum praeda destituuntur, brachia sua circumrodunt; sic is suam pinguitudinem exedens vivit. Ineunte rursus vere, jamque libere fluente Istro, odit ignaviam, itaque sese ex latibulis ad summam aquam incitans, aquae spuma abundante expletur. Vbi magno murmure rapidus fertur, ibi a piscatoribus ad hunc modum insidias ei molientibus facile capitur, ut hamus cum linea in spumam demissus sub alborem occultetur, et ferri splendor minime perspicuus sit; is tum ore hiante atque imminente liguriens insidiosam escam devorat, ex eoque perit, unde prius alebatur.

CAP.

τες τὸ φῶς, ἀσμένως εἰς τὸ ἀνεῳγμένον στόμιον εἰσνέουσι, καὶ γίνονται πλῆθος ἄμαχοι, καὶ ἐπωθοῦνται ἀλλήλοις, αἱροῦνται δὲ ἅτε ἐν βόθρῳ στενῷ ῥᾳδίως· καὶ πάρεστι λαβεῖν κυπρίνους τε, καὶ κορακίνους ἅδην, καὶ πέρκας, καὶ ξιφίαν, ἀλλ' οὔπω μέγαν, καὶ ἔτι τοῦ κέντρου τοῦ προμετωπιδίου ἄμοιρον· καὶ ἀντακαῖον, καὶ τοῦτον ἁπαλὸν, ἐπεὶ οἵγε μεγάλοι, καὶ προήκοντες τὴν ἡλικίαν, γένοιντο ἂν καὶ κατὰ τὸν θύννον τὸν μέγιστον. Οὗτός τοι καὶ πιότατός ἐστι τὰς λαπάρας καὶ τὴν γαστέρα, καὶ φαίης ἂν ὗος οὖθαρ εἶναι θηλαζούσης βρέφος· δορὰν δὲ ἔχει τραχεῖαν, καὶ μέντοι καὶ τὰ δόρατα λεαίνουσι ταύτῃ δορυξόοι· ὑπὸ δὲ τῷ μυελῷ τοῦδε τοῦ ζώου, ἀρξάμενος ἐκ μέσης τῆς κεφαλῆς, καὶ μέχρι τῆς οὐρᾶς καθήκων, ὑμὴν ὑγρὸς καὶ στενὸς ἔρχεται· τοῦτον οὖν πρὸς τὴν εἵλην αὖον ἐργασάμενος ἕξεις, εἰ θέλεις, καὶ μάστιγας ὡς ἐλαύνειν ζεῦγος ἵππων, ζεῦγος γὰρ ἤ τινι ἢ οὐδὲν διαφέρει. Εἰς μέγεθος δὲ ἤδη προήκων, οὐκ ἂν αὐτὸν θεάσαιτό τις ὑπεκδυόμενον τοῦ κρυστάλλου, καὶ ἐμπίπτοντα εἰς τὸν βόθρον· ἀλλ' ἢ πέτραν ὑπελθὼν πολυσκεπῆ εὗρε, καὶ ἐν ἄμμῳ βαθείᾳ ἑαυτὸν ἐγκρύψας εἶτα ὑποθάλπει, καὶ μάλα ἀγαπητῶς. Δεῖται δὲ οὔτε πόας τηνικάδε, οὔτε ἰχθύος εἰς βορὰν ἑτέρου· κρυμοῦ δὲ ὄντος, ἀργὸς εἶναι ἐθέλει, καὶ τρέφεται τῇ σχολῇ, καὶ τὴν ἑαυτοῦ πιμελὴν ἐσθίει· ὥσπερ οὖν καὶ οἱ πολύποδες ἐν ἀθηρίᾳ τῶν πλεκτανῶν τῶν ἰδίων παρατραγόντες, ἑαυτοὺς καὶ ἐκεῖνοι βόσκουσι. Χειμῶνος δὲ λήγοντος, καὶ ὑπαρχομένου ἦρος, καὶ ἐλευθέρου τοῦ Ἴστρου ῥέοντος, μισεῖ τὴν ἀργίαν καὶ ἀναπλεύσας, ἐμφορεῖται τοῦ κατὰ τὸ ὕδωρ ἀφροῦ, πολὺς δὲ οὗτός ἐστι. Μορμύροντος δὲ τοῦ ῥεύματος καὶ ὠθουμένου σφοδρότατα, ἐνταῦθά τοι καὶ ἁλίσκεται ῥᾳδίως, ἐλλοχώντων αὐτὸν τῶν ἁλιέων, καὶ τὸ ἄγκιστρον εἰς τὸν ἀφρὸν καθιέντων σὺν τῇ ὁρμιᾷ, καὶ τὸ μὲν κρύπτεται ὑπὸ τῇ λευκότητι, καὶ αἴγλη τοῦ χαλκοῦ εὐσύνοπτον οἷον οὐκ ἔστι· καὶ διὰ ταῦτά τοι περιχανὼν καὶ λάβρως σπῶν τοῦ προειρημένου σιτίου, καταπίνει τὸν δόλον, καὶ ἀπόλωλεν ἐντεῦθεν, ὅθεν τὰ πρῶτα ἐτρέφετο.

CAP. XXVII.

Quomodo Cynoſpaſtum, quae etiam Aglaophotis dicitur, per canem eruant.

CYNOSPASTVS herba alio nomine aglaophotis dicitur (recordatus enim fidem liberare volo) haec per diem inter ceteras herbas, a quibus ne minimum quidem differt, deliteſcit, nec ullo modo agnoſcitur; nocte vero ſtellae inſtar lucens, et igneo ſplendore coruſcans, facile in conſpectum venit. Itaque ſigno ad radices ejus defixo diſcedunt, abſque eo neque colorem ejus interdiu, neque ſpeciem cognituri. Nocte jam exacta adventant, et herbam ex ſigno agnoſcunt; evellere vero, aut circumfodere tantum, cavent: primum enim, qui ejus naturae imperitus eam attigit, periiſſe ferunt. Canem igitur juvenem adducunt diei ſpatio famelicum, et funiculum validum arctiſſime ad inferiorem herbae ſtipitem vinctum cani etiam alligant, et carnes aſſas multas ei objiciunt, quam longiſſime interim poſſunt recedentes: canis nidore motus, impetu ad carnes fertur, et herbam radicitus eruit; cujus radices ſi ſol viderit, canis mox exſpirat, et ſecretis quibuſdam ceremoniis, utpote in ipſorum gratiam extinctus, ſepelitur. Tum demum herbam contingere, et ſecum domum ferre audent. Vſus ejus ad multa celebratur: et inter cetera, ad comitialem morbum remedium ex ea homini commendant;

mendant;

Κ Ε Φ. κζʹ.

Πῶς διὰ Κυνὸς ἀνασπῶσι τὴν καλουμένην Κυνόσπαστον, ἢ καὶ Ἀγλαοφῶτιδα.

Ὄνομα φυτοῦ κυνόσπαστος, καλεῖται δὲ ἄρα καὶ ἀγλαοφῶτις ἡ αὐτὴ (βούλομαι γὰρ ἐκτίσαι χρέος ὑπομνησθεὶς) ὃ μεθʼ ἡμέραν μὲν ἐν τοῖς ἄλλοις διαλέληθε, καὶ οὐκ ἔστι πάντη σύνοπτον· νύκτωρ δὲ ἐκφαίνεται καὶ διαπρέπει, ὡς ἀστὴρ, φλογώδης γάρ ἐστι, καὶ ἔοικε πυρί. Οὐκοῦν σημεῖόν τι ταῖς ῥίζαις παραπήξαντες αὐτῆς ἀπαλλάττονται, οὔτε τὴν χρόαν ἔχοντες μεθʼ ἡμέραν, εἰ μὴ τοῦτο δρᾶσαι ἐμνημόνευσαν, οὔτε μὴν τὸ εἶδος. Παρελθούσης δὲ τῆς νυκτὸς, ἥκουσι, καὶ θεασάμενοι τὸ σημεῖον, ὅπερ οὖν κατέλιπον, καὶ γνωρίσαντες, ἔχουσι συμβαλεῖν, ὅτι ἄρα τοῦτο ἐκεῖνό ἐστι, οὗ καὶ δέονται, ἐπεί τοι γε ἄλλως ὅμοιόν ἐστι τοῖς παρεστῶσι, καὶ οὐδὲ ὀλίγον διαλλάττει αὐτῶν· οὐκ ἀνασπάσουσι δὲ αὐτοὶ τὸ φυτὸν τόδε, ἢ οὐ χαιρήσουσι πάντως, οὐκοῦν οὔτε περισκάπτει τις, οὔτε ἀνασπᾷ· ἐπεὶ καί φασι, τὸν πρώτιστον ὑπʼ ἀπειρίας τῆς κατʼ αὐτοῦ φύσεως προσαψάμενον, οὐκ εἰς μακρὰν ἀπώλεσεν. Ἄγουσιν οὖν κύνα νεανίαν ἡμερῶν ἀτροφήσαντα καὶ λιμώττοντα ἰσχυρῶς, καὶ τούτου σπάρτον ἐξάψαντες εὖ μάλα στερεὸν, καὶ τῆς ἀγλαοφώτιδος τῷ κάτω στελέχει βρόχον τινὰ δύσλυτον προσαρτήσαντες, ὡς οἷοί τέ εἰσι μακρόθεν, εἶτα τῷ κυνὶ προτιθέασι κρέα πάμπολλα ὀπτὰ, κνίσσης προβάλλοντα· ὁ δὲ ὑπὸ τοῦ λιμοῦ φλεγόμενος, καὶ στρεβλούμενος ὑπὸ τῆς κνίσσης, ἐπὶ τὰ προκείμενα ἔναντι κρέα καὶ ὑπʼ ὀδύνης αὐτόῤῥιζον ἀνασπᾷ τὸ φυτόν· ἐὰν δὲ ὁ ἥλιος ἴδῃ τὰς ῥίζας, ὁ κύων ἀποθνήσκει παραχρῆμα, θάπτουσι δὲ ἐν αὐτῷ τῷ χωρίῳ αὐτὸν, καί τινας δράσαντες ἀποῤῥήτους ἱερουργίας, καὶ τιμήσαντες τοῦ κυνὸς τὸν νεκρὸν ὡς ὑπὲρ αὐτῶν τεθνεῶτος. Εἶτα μέντοι προσάψασθαι τολμῶσι τοῦ φυτοῦ τοῦ προειρημένου, καὶ κομίζουσιν οἴκαδε. Καὶ καταχρῶνται, φασὶν, εἰς πολλὰ καὶ λυσιτελῆ· ἐν δὲ τοῖς, καὶ τὴν ἐκ τῆς σελήνης νόσον ἐνσκήπτειν τοῖς ἀνθρώποις λεγομένην,

mendant; item ad oculorum vitium, quod, delato in eos humore nimio, videndi facultatem adimit.

C A P. XXVIII.

De cochlea marina, quae vocatur Nerites.

COCHLEA marina magnitudine exigua, formae pulchritudine eximia ſpectatur; eo maris, ubi ſordium vacuitas eſt, et tranquillitas viget, et in ſaxis tum tectis mari, tum eminentibus modice, quae choeradas vocant, naſcitur. Haec nerites appellatur, et duplex ſuper ea narratur fabula, quas, ut accepi, referam; nam in longo opere modice ad fabulas deflectere, tum animi recreandi, tum condiendi edulcandique ſermonis gratia, nihil prohibet. Nereo [daemoni] marino, quem veracem et minime fallacem eſſe hactenus omnes praedicant, Doris Oceani filia, ut canit Heſiodus, filias peperit quinquaginta, quarum Homerus quoque in Megaris poemate meminit. Poſt tot vero filias etiam filium unicum ei natum eſſe, non illi quidem auctores ſunt, ſed vulgus piſcatorum praedicat; cui nomen fuerit Nerites, hominum ſimul atque deorum formoſiſſimo: quocum Venus etiam in mari ſe oblectarit, magno illum amore proſecuta. Cum vero jam tempus fatale adveniſſet, et Venerem diis coeleſtibus juſſu patris inſcribi oporteret; audio eam de mari exeuntem Neriten quoque delicias ſuas, ſecum abducere voluiſſe; illum vero recuſaſſe, quod inter parentes ac ſorores vivere, quam coelo potiri mallet. Et cum alas etiam, quandocunque libuiſſet, ad volandum ſibi producere poſſet; hoc quoque munus a Venere, ni fallor, acceptum adſpernatus neglexit. Quamobrem indignata Iovis filia illum in cochleam ejuſdem nominis convertit; comitem vero et miniſtrum illius loco Cupidinem, ipſum quoque juvenem et formoſum, ſibi delegit: et alis, quas Nerites habuerat, eundem induit. Altera vero fabula Neptunum ait amaſſe Neriten, et pariter ab eodem reda-

ἰᾶσθαί φασιν αὐτήν· καὶ τῶν ὀφθαλμῶν τὸ πάθος, ὅπερ οὖν, ὑγροῦ ἐπικλύσαντος καὶ ῥαγέντος, ἀφαιρεῖται τὴν ὄψιν αὐτοῖς.

ΚΕΦ. κή.

Περὶ τοῦ κόχλου τοῦ θαλαττίου, τοῦ καλουμένου Νηρίτου.

Κόχλος ἐστὶ θαλάττιος, μικρὸς μὲν τὸ μέγεθος, ἰδεῖν δὲ ὡραιότατος· καὶ ἐν θαλάττῃ τίκτεται τῇ καθαρωτάτῃ, καὶ ἐν ταῖς ὑφάλοις πέτραις, καὶ ἐν ταῖς καλουμέναις χοιράσιν. Ὄνομα δὲ νηρίτης ἐστὶν αὐτῷ, καὶ διαῤῥεῖ λόγος διπλοῦς ὑπὲρ τοῦδε τοῦ ζώου, καὶ εἰς ἐμέ γε ἀφικέσθην ἄμφω τὼ λόγω· καὶ μέντοι καὶ διαμυθολογῆσαι μικρὰ ἄττα ἐν μακρᾷ τῇ συγγραφῇ οὐδὲν ἄτοπον, ἀλλ' ἢ διαναπαῦσαί τε τὴν ἀκοὴν, καὶ ἐφηδῦναι τὸν λόγον. Τῷ Νηρεῖ τῷ θαλαττίῳ, ὅνπερ οὖν ἀληθῆ τε καὶ ἀψευδῆ ἀκούομεν δεῦρο ἀεί, πεντήκοντα μὲν τεκεῖν θυγατέρας τὴν Ὠκεανοῦ Δωρίδα Ἡσίοδος ᾄδει· μέμνηται δὲ αὐτῶν καὶ Ὅμηρος ἐν τοῖς ἑαυτοῦ Μεγάροις. Ἕνα δέ οἱ γενέσθαι παῖδα ἐπὶ ταῖς τοσαύταις θυγατράσιν, ἐκεῖνοι μὲν οὖν οὔ φασι, λόγοι δὲ θαλάττιοι ὑμνοῦσι· καὶ Νηρίτην αὐτὸν κληθῆναι λέγουσι, καὶ ὡραιότατον γενέσθαι καὶ ἀνθρώπων καὶ θεῶν· Ἀφροδίτην δὲ συνδιαιτωμένην ἐν τῇ θαλάττῃ ἡσθῆναί τε τῷ Νηρίτῃ τῷδε, καὶ ἔχειν αὐτὸν φίλον. Ἐπεὶ δὲ ἀφίκετο χρόνος εἱμαρμένος, ἔδει τοῖς ὀλυμπίοις ἐγγραφῆναι καὶ τήνδε τὴν δαίμονα, τοῦ πατρὸς παρακαλοῦντος· ἀνιοῦσαν αὐτὴν ἀκούω, καὶ τὸν ἑταῖρόν τε καὶ συμπαίστην τὸν αὐτὸν ἐθέλειν ἄγειν· τὸν δὲ οὐχ ὑπακοῦσαι λόγος ἔχει, τοῦ ὀλύμπου προτιμῶντα τὴν σὺν ταῖς ἀδελφαῖς καὶ τοῖς γειναμένοις διατριβήν. Παρῆν δ' ἄρα αὐτῷ καὶ ἀναφῦσαι πτερὰ, καὶ τοῦτο ἐγῷμαι δῶρον τῆς Ἀφροδίτης δωρουμένης· ὁ δὲ καὶ ταύτην παρ' οὐδὲν ποιεῖται τὴν χάριν. Ὀργίζεται τοίνυν ἡ Διὸς παῖς, καὶ ἐκεῖνον μὲν εἰς τὸν κόχλον τόνδε ἐκτρέπει τὴν μορφήν· αὐτὴ δὲ αἱρεῖται ὀπαδόν τε καὶ θεράποντα ἀντ' ἐκείνου τὸν Ἔρωτα, νέον καὶ τοῦτον καὶ καλόν· καὶ οἱ τὰ πτερὰ τὰ ἐκείνου δίδωσιν. Ὁ δὲ ἄλλος λόγος ἐρασθῆναι βοᾷ Νηρίτου Ποσειδῶνα, ἀντερᾶν καὶ τοῦ Ποσειδῶνος,

καὶ

redamatum esse, unde nomen et celebritas Anterotis [h. e. amoris mutui] inter homines exorta sint. Et hunc Neptuni amasium tum alias familiariter cum ipso vivere solitum esse audio, tum currum ejus et equos, si quando per aequora veheretur, quam proxime semper secutum, marinis bestiis omnibus sua celeritate superatis: nam pisces cetacei, delphini, tritones etiam, aliique e penetralibus maris excitati, circumsiliendo currum, et tripudiando (quod eos facere Homerus etiam in Iliade testis est) omnes mox fessi desistebant, et relinquebantur a tergo; puer vero proxime eum comitabatur semper, fluctibus etiam ei ob reverentiam Neptuni se submittentibus, et locum aquarum divortio cedente mari; quod Neptunus voluisset tam praestantis formae puerum, tum ceteris in rebus excellere, tum corporis habitu et viribus prae cunctis florere. Solem igitur inquit fabula pueri celeritate commotum succensuisse, et in cochleam corpus ejus vertisse. Quam vero ob causam sol iratus hoc fecerit, ignoro, nec exprimit fabula; verisimile tamen est, si quid conjicere licet in rebus obscuris, hos deos fuisse rivales: et solem aegre tulisse, quod tam formosus puer in mari degeret, quem ipse digniorem inter sidera, quam inter belluas maris, numerari judicaret. Hic fabulam utramque finierim. Precor autem deos mihi propitios esse, et quae narravi in meliorem partem accipere; et si quid peccatum est, id omne fabulis vulgi adscribere.

C A P. XXIX.

Quomodo Eridano et Taenari fluviis Pisces capiantur.

VBI insignis Eridanus et parum nobilis Taenarus coitionem faciunt, ibi peculiaria hercle piscandi genera accolae exercent; quae ex Mitylenaei cujusdam viri, mihi etiam noti, carminibus didici, non indigna referri. Hiberno quidem tempore, dum

ϗ τοῦγε ὑμνουμένου Ἀντέρωντος ἐντεῦθεν τὴν γένεσιν ὑπάρξασθαι. Συνδιατρίβειν οὖν τάτε ἄλλα τῷ ἐραστῇ τὸν ἐρώμενον ἀκούω· ϗ μέντοι ϗ αὐτοῦ ἐλαύνοντος κατὰ τῶν κυμάτων τὸ ἅρμα, τὰ μὲν κήτη τὰ ἄλλα, ϗ τοὺς δελφῖνας, ϗ προσέτι ϗ τοὺς Τρίτωνας ἀναπηδᾷν ἐκ τῶν μυχῶν, ϗ περισκιρτᾷν τὸ ἅρμα, ϗ περιχορεύειν (ὃ ϗ Ὅμηρος ἐν Ἰλιάδι λέγει ἡμῖν) ἀπολείπεσθαι γοῦν τοῦ τάχους τῶν ἵππων πάντας ϗ πάντα· μόνα δὲ ἄρα τὰ παιδικά οἱ παρομαρτεῖν ϗ μάλα πλησίον, στόρνυσθαι δὲ ἄρα αὐτοῖς ϗ τὸ κῦμα, ϗ διΐστασθαι ϗ τὴν θάλασσαν, αἰδοῖ Ποσειδῶνος· βούλεσθαι γὰρ τῇ τε ἄλλῃ τὸν θεὸν εὐδοκιμεῖν τὸν καλὸν ἐρώμενον, ϗ οὖν ϗ τὴν ἕξιν διαπρέπειν. Τὸν δὲ Ἥλιον νεμεσῆσαι τῷ τάχει τοῦ παιδὸς ὁ μῦθος λέγει, ϗ ἀμεῖψαί οἱ τὸ σῶμα εἰς τὸν κόχλον. Τὸν οὖν οὐκ οἶδα εἰπεῖν ὁπόθεν ἀγριάναντα, οὐδὲ γὰρ ὁ μῦθος λέγει· εἰ δέ τι χρὴ συμβαλεῖν ὑπὲρ τῶν ἀτεκμάρτων, λέγονται ἀντερᾷν Ποσειδῶν ϗ Ἥλιος· ϗ ἠγανάκτει μὲν ἴσως ὁ Ἥλιος, ὡς ἐν θαλάττῃ φερόμενος, ἐβούλετό τε αὐτὸν οὐκ ἐν τοῖς κήτεσιν ἀριθμεῖσθαι, ἀλλ' ἐν ἄστροις φέρεσθαι. Καὶ τῷ μὲν μύθῳ ἐς τοσόνδε ἐληξάτην. Ἐμοὶ δὲ ἐκ τῶν θεῶν ἵλεω ἔστω, ϗ τάγε παρ' ἐμοῦ ἔστω πρὸς αὐτοὺς εὔστομα· εἰ δέ τι θρασύτερον εἴρηται τοῖς μύθοις, ἐκείνων τὸ ἔγκλημα.

ΚΕΦ. κθ'.

Πῶς θηρῶσιν ἐν τῷ Ἠριδανῷ ποταμῷ ϗ τῷ Ταινάρῳ τοὺς ἰχθῦς.

ΕΝθα ὁ Ταίναρος ποταμὸς ϗ ὁ Ἠριδανὸς συμβάλλετον, οὗτος μὲν ϗ διὰ δόξης ἰὼν ϗ κλέους, ἐκεῖνος δὲ οὐ πάντη γνώριμος· ἐνταῦθά τοι θῆραι ναὶ μὰ Δία ἰχθύων ἴδιαι, ϗ εἰς ἐμὲ ἥκουσαι μέτροις Μιτυληναίου ἀνδρὸς, ὃν ᾔδειν ϗ αὐτὸς, μηδὲ ἐξ ἡμῶν ἀγέραστοι γενέσθωσαν τῷ λόγῳ τῷδε. Πεπεδημένων αὐτοῖς ὑπὸ κρυστάλλου τῶν ῥευμάτων, ὅσοι περιοικοῦσιν

dum glacies adſtringit aquam, ſationi operam dant; fertilem enim regionem colunt. Deinde, ineunte vere, nondum confluente frigoribus conglaciare deſinente, qui antea agricolae eſſent, nunc piſcatores facti, ſinuoſum locum deligunt; quem peracutis ſecuribus circumcidunt, ut figurae rotunditate quiddam lacui vel paludi ſimile efficiant: non tamen glaciem prope ripam ſecant, ſed in ſuo ſtatu conſiſtere ſinunt; atque locum a glacie nudatum circundant amplo verriculo, quod fune valido ambitur. Tum rete piſcatores, aliique in ripa conſiſtentes, trahunt; ac nimirum permulti, etiam piſcatoriae artis imperiti, piſcium captionem animi oblectandi cauſa ſpectant. Cum autem ii, qui adducunt, prope ripam venerunt, tum piſcatores alii extrinſecus glaciem ripae continentem frangunt; detinetur enim rete in lacu, quem diximus, et promoveri ultra non poteſt. Ita igitur circumcidunt glaciem, ut pars ejus in medio jam libera abſolutaque, et inſulae fluitantis inſtar, cui inſiſtunt, qui rete trahunt, ab reti piſcibus pleno, dum trahitur, verſus ripam agatur ac impellatur. Hoc quidem illo in loco piſcandi genus, uſitatis piſcationibus aliis longe diſſimile, hujuſmodi eſt. De piſcatoribus vero illis Homerice dixerim, eos duplicem fructum percipere, alterum ex terra, alterum ex flumine, ut iidem et nautae et agricolae cenſendi ſint.

αὐτοὺς, τῇ μὲν ὥρᾳ χειμερίῳ ἀροῦσί τε καὶ σπείρουσι· καὶ γάρ πως καὶ εὔγεω χῶρον κεκλήρωνται. Εἶτα ὑπαρχομένου τοῦ ἦρος, τῶν ῥευμάτων τῶν προειρημένων, δι' ἣν αἰτίαν εἶπον, ἔτι ἑστώτων, κολπώδη τινὰ τόπον προαιροῦνται οἱ γεωργοὶ τέως, νῦν δὲ ἁλιεῖς· καὶ περιτέμνουσι τοῦτον εὖ μάλα τεθηγμένοις πελέκεσι, καὶ τὸ ὕδωρ ἀναφαίνεται, περιφερὲς κατὰ τέλμα· οὐ μὴν πλησίον ἔτι τῆς ὄχθης κόπτουσιν, ἀλλὰ ἐῶσι τὸν κρύσταλλον, ὡς ἐξ ἀρχῆς ἐνετράφη· περιβάλλουσιν οὖν τῷ χώρῳ τῷ γεγυμνωμένῳ πλατὺ δίκτυον, καὶ μέντοι καὶ περιβάλλουσιν αὐτὸ κάλων ἁδρότερον. Καὶ τοῦτό γε τὸ δίκτυον ἐπισπῶσιν ἄνδρες ἐπὶ τῆς ὄχθης ἑστῶτες, καὶ ἁλιεῖς καὶ ἄλλοι· καὶ μέντοι τὴν τῶν ἰχθύων ἅλωσιν θεῶνται πολλοὶ, τῆς τέχνης οὐκ ἐπαΐοντες, ψυχαγωγία δέ τις ὕπεισιν αὐτούς. Ὅταν γε μὴν ἀγόμενοι τῆς ὄχθης πλησίον ἀφίκωνται, τηνικαῦτα καὶ τὸν ἐντεῦθεν τέμνουσι κρύσταλλον οἱ ἔξωθεν ὑδροθῆραι· τῇ γάρ τοι θήρᾳ ἐνέχονται, καὶ ἀναστέλλονται τοῖς ἰχθύσι τὸν ἔξω πόρον. Τούτου δὲ οὕτω γενομένου, πλῆρες ἰχθύων τὸ δίκτυον ἐκεῖνο τὴν περιτμηθεῖσαν ἐπωθεῖ τοῦ κρυστάλλου πέτραν, καὶ συνεπάγη, καὶ οἵγε ἐφεστῶτες ἁλιεῖς αὐτῇ ἐοίκασιν ἐπὶ νήσου φέρεσθαι πλωτῆς. Ἴδια μὲν δὴ καὶ ταῦτα ἰχθύων τῶν ἐκεῖσε, καὶ θήραις ἑτέραις οὐκ ἂν εἰκασμένα. Δώσει δὲ Ὅμηρος εἰπεῖν μοι, ὅτι καὶ διπλοῦν αἱροῦνται μισθὸν οἵδε οἱ ἄνδρες, τὸν μὲν ἐκ τοῦ ποταμοῦ, τὸν δὲ ἐκ τῆς γῆς, ὡς τοὺς αὐτοὺς εἶναι καὶ ναύτας καὶ γεωργούς.

AELIANI
DE
NATVRA ANIMALIVM
LIBER XV.

CAPVT I.

Piscium captura in Macedonia non admodum usitata.

HVIVSCEMODI Macedonicam piscandi rationem auditione accepi. In fluvio, nomine Astraeo, qui inter Beroeam et Thessalonicen medius fluit, distincti variis coloribus pisces gignuntur; quorum nomen ab incolis Macedonibus melius interroges. Hi autem indigenis muscis in fluvio volitantibus pastum sibi comparant, quae nec simile de specie quicquam aliarum muscarum habent, nec ad apum similitudinem accedunt, nec vesparum, nec denique anthedonum [crabronum] speciem gerunt; harum tamen aliquam cujusque propriam particulam referunt. Nam in audacia quiddam simile ceterarum muscarum habent, tum magnitudine anthedoni similes sunt, tum vesparum colorem reddunt, et similiter quidem atque apes bombo strepunt. Eas hippuros appellant indigenae. Ad summam autem aquam versantes sui gratia alimenti piscium nationem non latent. Vt ex his igitur quispiam earum aliquam per summa apparentem conspexit, silentio sub aquas subit, metuens ne praedam aquae agitatione loco moveat: et proxime ad illius umbram accedens,

ΑΙΛΙΑΝΟΥ

ΠΕΡΙ ΖΩΩΝ ΙΔΙΟΤΗΤΟΣ

ΒΙΒΛΙΟΝ ΙΕ΄.

ΚΕΦΑΛΑΙΟΝ α΄.

Θήρα Ἰχθύων ἐν Μακεδονίᾳ οὐ πάντη συνήθης.

ΘΗΡΑΝ ἰχθύων Μακέτιν οἶδα ἀκούσας, καὶ ἥδε ἡ θήρα ἐστί. Βεροίας τε καὶ Θεσσαλονίκης μέσος ῥεῖ ποταμὸς ὄνομα Ἀστραῖος, εἰσὶν οὖν ἐνταῦθα ἰχθύες τὴν χρόαν κατάστικτοι· τίνας αὐτοὺς οἱ ἐπιχώριοι καλοῦσι, Μακεδόνας ἔρεσθαι λῷόν ἐστιν. Οὐκοῦν οὗτοι ποιοῦνται τροφὴν μύας ἐπιχωρίους ἐν τῷ ποταμῷ πετομένας, οὐδέν τι ταῖς ἀλλαχόθι μύαις προσεικασμένας, οὐδὲ μὴν σφηκῶν ὄψει παραπλησίας, οὐδ᾽ ἂν εἴποι τις ταῖς καλουμέναις ἡμέρεσι τὴν μορφὴν εἰκότως ἂν ἀντικρίνεσθαι τοῦτο τὸ ζῷον, οὐδὲ ταῖς μελίσσαις αὐταῖς· ἔχουσι δέ τινα τῶν προειρημένων ἑκάστου μοῖραν ἰδίαν. Ἐοίκασιν οὖν τὸ μὲν θράσος μυίᾳ, τὸ δὲ μέγεθος εἴποις ἂν ἀνθηδόνα, σφηκὸς δὲ τὴν χρόαν ἀπεμάξατο, βομβεῖ δὲ ὡς αἱ μέλιτται. Καλοῦσι δὲ ἵππουρον αὐτὸν, πᾶν ὅσον εἰσὶν ἐπιχώριον. Ἐκδιαιτῶσιν οὖν ἐπικείμενοι τῷ ῥεύματι τροφὴν τὴν ἑαυτοῖς φίλην, οὐ μὴν οὐ δύνανται τοὺς ἐπινηχομένους λαθεῖν ἰχθύας. Ὅταν γοῦν αὐτοῦ ἐπιπολάζουσαν τὴν μυῖαν θεάσηταί τις, ἡσυχῇ καὶ ὕφυδρος νέων ἔρχεται, κινῆσαι τὸ ἄνω δεδοικὼς ὕδωρ, ἵνα μὴ σοβήσῃ τὸ θήραμα· εἶτα ἐλθὼν πλησίον κατὰ τὴν σκιὰν αὐτῆς, ὑπο-

dens, quemadmodum vel de grege ovem lupus, vel anſerem ex cohorte aquila rapit; ſic is ore hianti atque imminenti eam devorat, et mox ſub aquae ſuperficiem denuo mergitur. Quod quidem ipſum etſi piſcatores haudquaquam ignorant, non iis tamen muſcis ad ineſcandos piſces utuntur; ſimul enim ac hominis manu continguntur, et nativum colorem perdunt, et pennae evaneſcunt, et inepti ad eſcam piſcium omnino redduntur. Quae cauſa eſt, cur earum odio incenſi ipſas a ſe deteſtentur. Verumtamen qui piſcandi ſcientiam cognitionemque praeclare tenent, captioſa quadam machinatione atque ſolertia ejuſmodi piſces circumveniunt. Purpuraſcente enim lana hamum circumveſtiunt, et ad eandem lanam gallinacei pennas duas e barba ſeu paleis, cerei coloris ſpeciem ſimilitudinemque gerentes, accommodant; quaternum cubitorum eſt arundo, et ejuſdem longitudinis linea. Has ergo abſtruſas inſidias in flumen demittunt; piſces vero colore illecti cupide pergunt contra venire, ac nimirum lautum cibum ſe habituros ex pulchro adſpectu arbitrantes, ore hiantes hamatis eſcis configuntur, iiſdemque acerbis captivi fruuntur.

C A P. II.

De marinis Arietibus, et quomodo Vitulos marinos iidem capiant.

MARINI arietes, quorum quidem nomen apud multos pervagatum eſt, ſed non tamen hiſtoria omnino explicata, niſi quatenus a pictoribus et fictoribus oſtenditur, circa Corſicum et Sardoum fretum hibernant, atque ex ſumma aqua eminentes ſpectantur, et maximi delphini circum eos natant. Mas aries frontem alba vitta redimitam habet; ut vel hanc Lyſimachi, vel Antigoni, vel alterius cujuſpiam regum Macedoniae diadema dicas. Aries vero femina, quemadmodum barbae appendiculas gallinacei quaſdam poſſident, ſic ipſa cirros ex imo collo pendentes habet. Neque modo eorum uterque cadavera cibum ſibi facit, ſed et viva corpora corripit. In natando magnos fluctus faciens tempe-

ὑποχανὼν κατέπιε τὴν μῦαν, ὡς ὄϊν ἐξ ἀγελῶν λύκος ἁρπάσας, ἢ χῆνα ἐξ αὐλῆς ἀετός· ϗ τοῦτο δράσας ὑπεισῆλθε τὴν φρίκα. Ἴσασιν οὖν οἱ ἁλιεῖς τὰ πραττόμενα, ϗ ταῖσδε μὲν ταῖς μύαις εἰς δέλεαρ τῶν ἰχθύων χρῶνται οὐδέν· ἐὰν γὰρ αὐτῶν προσάψηται χεὶρ ἀνθρωπίνη, ἀφῄρηνται μὲν τὴν χρόαν τὴν συμφυῆ, μαραίνεται δὲ αὐτοῖς τὰ πτερὰ, ϗ ἄβρωτοι γίνονται τοῖς ἰχθύσι. Καὶ διὰ ταῦτα οὐ προσίασιν αὐτοῖς, ἀποῤῥήτῳ φύσει τὰς εἰρημένας μεμισηκότες. Σοφίᾳ δ' οὖν περιέρχονται ὑδροθηρικῇ, δόλον αὐτοῖς ἐπινοήσαντες. Οἷον τῷ ἀγκίστρῳ περιβάλλουσιν ἔριον φοινικοῦν, ἥρμοσαί τε τῷ ἐρίῳ δύο πτερὰ ἀλεκτρυόνος ὑπὸ τοῖς καλλέοις πεφυκότα, ϗ κηρῷ τὴν χρόαν παρεικασμένα· ὀργυιὰ δὲ ὁ καλαμός ἐστι, ϗ ὁρμιὰ δὲ τοσοῦτον ἔχει τὸ μῆκος. Καθίησιν οὖν τὸν δόλον· ἑλκόμενος δὲ ὑπὸ τῆς χρόας ὁ ἰχθὺς, ϗ οἰστρούμενος, ἀντίος ἔρχεται, ϗ θοίνην ὑπολαμβάνων ἐκ τοῦ κάλλους τῆς ὄψεως ἕξειν θαυμαστὴν, εἶτα μέντοι περιχανὼν ἐμπλάσσεται τῷ ἀγκίστρῳ, ϗ πικρᾶς τῆς ἑστιάσεως ἀπολέλαυκεν ᾑρημένος.

ΚΕΦ. β΄.

Περὶ τῶν θαλαττίων Κριῶν, ϗ ὅπως θηρῶσι τὰς Φώκας.

ΟΙ θαλάττιοι κριοὶ, ὧνπερ οὖν ὄνομα μὲν ἐς τοὺς πολλοὺς διαῤῥεῖ, ἱστορία δὲ οὐ πάντη σαφὴς, ἢ ὅσον γραφῇ χειρουργίας ϗ πλάσματι δείκνυται, χειμάζουσι μὲν περὶ τὸν Κύρνειόν τε ϗ Σαρδῷον πορθμὸν, ϗ φαίνονταί γε ϗ ἔξαλοι, περινήχονται δὲ ἄρα αὐτοὺς ϗ δελφῖνες μεγέθει μέγιστοι. Ὁ τοίνυν ἄῤῥην κριὸς λευκὴν τὸ μέτωπον ταινίαν ἔχει περιθέουσαν· εἴποις ἂν Λυσιμάχου τοῦτο διάδημα, ἢ Ἀντιγόνου, ἤ τινος τῶν ἐν Μακεδονίᾳ βασιλέων ἄλλου. Κριὸς δὲ θῆλυς, ὡς οἱ ἀλεκτρυόνες τὰ κάλλεα, οὕτω τοι ϗ οὗτος ὑπὸ τῇ δέρῃ ἠρτημένους πλοκάμους ἔχει. Ἁρπάζει δὲ ἄρα τοῖνδε τοῖν κριοῖν ἑκάτερος ϗ νεκρὰ σώματα, ϗ ποιεῖται τροφὴν αὐτὰ, ϗ ζῶντας ἁρπάζει. Ἀλλὰ ϗ τῷ τῆς νήξεως κλύδωνι πολὺς ὢν ϗ ὑπέρογκος, ϗ ναῦς

περι-

tempeſtate, quam ex ſua agitatione ciet, naves funditus evertit; ac eos, qui ſecundum mare verſantur, rapit. Qui Corſicam incolunt, dicunt virum, qui ex tempeſtate naufragium feciſſet, natandi bene peritum, ubi permultum maris natando tranſmiſiſſet, circa Corſicam crepidinem quandam adſecutum adſcendiſſe, ibique conſtitiſſe, tanquam periculo jam omni exemptum atque ſecurum; poſt vero quam aries famelicus eum oculis comprehendiſſet, convolutum agitatumque poſteriore ſui parte plurimum mare concitaſſe; deinde ab intumeſcente aeſtu ſurſum elatum, inſtar procellae et turbinis, hominem corripuiſſe. Haec de ariete circa Corſicam. Ceterum oceani accolae fabulantur veteres Atlantidis reges, qui genus ad Neptunum referunt, in capitibus ſuis arietum marium taenias geſtaſſe, imperii inſigne; et reginas ſimiliter cirros feminarum arietum. Tanto narium robore praedita eſt hujuſmodi bellua, ut permultum aëra reſpiratione ad ſe attrahat, eaque adſpiratione marinos vitulos ad hanc rationem comprehendat: Cum arietem illi noverunt vicinum eſſe ad moliendas ipſis inſidias, in terram celerrime enatantes in ſpecus ſaxorum conduntur; is, cognita fuga, inſequitur; et contra antrum ſtans ex corporis odore praedam intus eſſe percipit, et narium illecebra quadam acri inter ſe et vitulos aërem intermedium attrahit: hi, tanquam vel ſagittam vel ſpiculum, ſic ſane ſpirationis illius appulſum declinant et refugiunt; tandem tamen violentiſſimo anhelitus ductu inviti, et tanquam loris quibuſdam aut funibus conſtricti, ex latebra extrahuntur, et ſtrident, et ab ariete devorantur. Ex earum naribus enatos pilos harum rerum periti magnos uſus adferre teſtantur.

C A P.

περιτρέπει, χειμῶνα αὐταῖς ἐξ ἑαυτοῦ τοῦτον ἐργασάμενος· ἁρπάζει δὲ καὶ ἀπὸ γῆς ἑστῶτας τῆς πλησίον. Λέγουσι δὲ οἱ τὴν Κύρνον κατοικοῦντες, νεὼς διεφθαρμένης ἐν χειμῶνι, ἄνδρα εὖ μάλα νηκτικὸν πολλὴν θάλατταν διανύσαντα λαβέσθαι τινὸς ἄκρας σφίσιν ἐπιχωρίου, καὶ ἀνελθόντα ἑστάναι καὶ μάλα ἀδεῶς, ἤδη κινδύνων ἁπάντων ἐλεύθερον γενόμενον, καὶ ἐν ἀδείᾳ τοῦ ζῆν καὶ ἐξουσίᾳ ὄντα· κριὸν οὖν παρανηχόμενον θεάσασθαι τὸν ἑστῶτα καὶ ἀναφλεχθέντα ὑπὸ λιμοῦ ἑλίξαι τε ἑαυτὸν καὶ κυρτῶσαι, καὶ τῷ οὐραίῳ μέρει πολλὴν ἐλάσαι θάλασσαν· εἶτα ἑαυτὸν μετεωρίσαι ἀρθέντα ὑπὸ τοῦ οἰδήσαντος κύματος, καὶ ἐπὶ τὴν ἄκραν φθάσαι ἀνατεθέντα, καὶ δίκην καταιγίδος ἢ στροβίλου ἁρπάσαι τὸν ἄνθρωπον. Καὶ τὸ μὲν Κύρνειον ἅρπαγμά τε καὶ θήραμα τοῦ κριοῦ ἐστι τοιοῦτον. Μυθοποιοῦσι δὲ οἱ τὸν ὠκεανὸν οἰκοῦντες, τοὺς πάλαι τῆς Ἀτλαντίδος βασιλέας, τοὺς ἐκ τῆς Ποσειδῶνος σπορᾶς, ἐπιφέρειν ἐπὶ τὰς κεφαλὰς τὰς τῶν κριῶν τῶν ἀῤῥένων ταινίας, γνώρισμα τῆς ἀρχῆς τοῦτο· καὶ τὰς ἐκείνων γαμετὰς τὰς βασιλίδας τοὺς πλοκάμους τῶν ἑτέρων, καὶ ἐκείνας φορεῖν τῆς ἀρχῆς ἔλεγχον. Ἔστι δὲ ἄρα τοὺς μυκτῆρας τὸ ζῶον τοῦτο καρτερὸν δεινῶς, καὶ πολὺ πνεῦμα εἰσπνεῖ, καὶ ἕλκει ἀέρα ἐφ' ἑαυτὸν πάμπολυν, θηρᾷ δὲ καὶ τὰς φώκας τὸν τρόπον τοῦτον· Αἱ μὲν συνιεῖσαι πλησίον που κριὸν εἶναι, καὶ φέρειν σφίσιν ὄλεθρον, ὡς ὅτι τάχιστα ἐκνήχονται, καὶ παρελθοῦσαι εἰς τὴν γῆν, καὶ τὰς ὑπάντρους πέτρας ὑπελθοῦσαι καταδύονται· οἱ δὲ αἰσθόμενοι τὴν φυγὴν μεταθέουσιν, καὶ ἀντίοι στάντες τοῦ ἄντρου κατὰ τὴν τοῦ χρωτὸς ὀσμὴν ἔνδον εἶναι σφίσι τὴν ἄγραν συνιᾶσι, καὶ ὡς ἴϋγγί τινι βιαιοτάτῃ ἕλκουσι ταῖς ῥισὶ τὸν μεταξὺ ἑαυτῶν καὶ τῆς φώκης ἀέρα· ἡ δὲ, ὡς βέλος ἢ δόρατος αἰχμὴν, ἐκκλίνει τὴν τοῦ πνεύματος προσβολὴν, καὶ τὰ μὲν πρῶτα ὑπαναχωρεῖ· τελευτῶσα δὲ ὑπὸ τῆς βιαιοτάτης ἕλξεως ἐκσπᾶται τοῦ ἄντρου, καὶ ἄκουσα ἀκολουθεῖ, ὥσπερ οὖν ἱμᾶσί τισιν ἢ σχοίνοις κατατεινομένη, καὶ τέτριγε, καὶ γίνεται τῷ κριῷ δεῖπνον. Τάς γε μὴν ἐκπεφυκυίας τῶν μυκτήρων τοῦ κριοῦ τρίχας οἱ ταῦτα ἐξετάζειν δεινοὶ λέγουσιν εἰς πολλὰ ἀγαθάς.

CAP. III.

De Thynnis ad promontorium Bubonicum.

AD promontorium Bubonicum innumeri thynnorum greges verſantur. Eorum maximi, ſimiliter ut ſues, ſolitarii ſunt, et ſeparatim natant; alii, more luporum, bini pabulantur; alii gregatim, quemadmodum caprae, in latis paſtionibus paſcuntur. Exoriente canicula, et ingraveſcente aeſtivo calore, in Euxinum natare contendunt; et marinis fluctibus e fervide radiato ſole caleſcentibus, inter ſe velut conſerti contextique confertis turmis natant, et corporum conjunctione umbra quodammodo perfruuntur.

CAP. IV.

De piſce, quem Lunam vocant.

DEMOSTRATVS vir rei piſcatoriae peritiſſimus, ſimul et diſertus, piſcem quendam eſſe affirmat ſpecie perpulchrum, et appellari lunam, exigua magnitudine, lata figura; idemque ait, cyanei coloris ſpeciem ſimilitudinemque gerere, et in dorſo pinnas habere molles ac lenes; eaſdemque in natando explicare, et ad ſimilitudinem lunae ſemicirculum efficere: atque haec ſe vidiſſe Cyprii piſcatores aiunt. Proinde dicit Demoſtratus, cum eſt plena luna, tum impleri hunc piſcem, tum arbores implere, ſi ex his illum appenderis; decreſcente vero luna exſiccari atque interire, ac ſi ad plantas admoveris, eas marceſcere et evaneſcere: item ſi jam plena vel creſcente luna in id aquae, quod in perfoſſis puteis reperitur, quis hunc piſcem injecerit, aquam jugem et perennem fore; ſin extrema aut decreſcente luna, aquam exareſcere: quod ſi hunc eundem in fontem ſcatu-

ΚΕΦ. γʹ.

Περὶ τῶν Θύννων τῶν ἐν τῷ ῥίῳ τῷ Βιϐωνικῷ.

ΕΝ δὲ τῷ ῥίῳ τῷ Βιϐωνικῷ θύννων ἔθνη μυρία. Καὶ οἱ μὲν αὐτῶν κατὰ τοὺς σῦς εἰσι μονίαι, καὶ καθ' ἑαυτοὺς νήχονται μέγιστοι ὄντες· οἱ δὲ συνδυασθέντες, καὶ εἰς τὸν κατὰ τοὺς λύκους σύννομον· ἄλλοι δὲ κατ' ἀγέλας, ὥσπερουν τὰ αἰπόλια, πλατείας νομὰς νενεμημένοι. Ἐπιτέλλοντος δὲ τοῦ Σειρίου, καὶ τῆς ἀκτῖνος ἐνακμαζούσης ὀξύτατα, ἐπὶ τὸν Εὔξεινον στέλλονται· καὶ τοῦ κύματος αὐτοῦ ἐμπύρου δοκοῦντος, ἀλλήλοις συνυφασμένοι νήχονται, καὶ τῇ τῶν σωμάτων συναφῇ σκιᾶς τινος ἁμωσγέπως μεταλαγχάνουσι.

ΚΕΦ. δʹ.

Περὶ τοῦ ἰχθύος, ὃν καλοῦσι Σελήνην.

ΛΕγει δὲ Δημόστρατος, ἀνὴρ ἁλιευτικῆς σοφίας ἐπιστήμων, ναὶ μὰ Δία καὶ ἑρμηνεῦσαι χρηστὸς, εἶναί τινα ἰχθὺν ὡραῖον τὸ εἶδος, καὶ καλεῖσθαι σελήνην τοῦτον, τὸ μέγεθος βραχὺν, κυανοῦν τὸ εἶδος, πλατὺν τὸ σχῆμα· τὸν νῶτον δέ οἱ λοφιὰς ἔχειν, καὶ τάσδε ἀνατείνειν, ὁ αὐτός φησι, μαλακὰς δὲ εἶναι αὐτὰς, καὶ οὔτε ἀντιτύπους, οὔτε τραχείας· ταύτας οὖν, ὅταν ὁ ἰχθὺς οὗτος ὑπονήχηται, διαιρεῖσθαι καὶ ἀποδεικνύναι κύκλου ἡμίτομον, καὶ εἶναι σελήνης τῆς διῃρημένης σχῆμα· καὶ ταῦτα μὲν ὅσα ἰδεῖν Κύπριοι δὴ ἁλιεῖς φασιν. Δημοστράτου δὲ καὶ οὗτος ὁ λόγος, πληρουμένης μὲν τῆς σελήνης τὸν ἰχθὺν τόνδε ᾑρημένον, πεπληρῶσθαί τε αὐτὸν, καὶ πληροῦν καὶ τὰ δένδρα, ἐὰν τούτοις προσαρτήσῃς φέρων αὐτόν· ληγούσης δὲ ἄρα ὑποτετῆχθαι καὶ ἐκλείπειν, καὶ φυτοῖς προσαχθέντα αὐαίνειν αὐτά· ὀρυττομένων τε φρεάτων, ἐὰν μὲν τοῦ μηνὸς ὑποφαινομένου εἰς τὸ εὑρεθὲν ὕδωρ ἐμϐάλῃ τις τὸν ἰχθὺν τοῦτον, ἀέναον ἔσται τὸ ὕδωρ, καὶ οὐκ ἐπιλείψει ποτέ· εἰ δὲ ὑπολήγοντος, οὐχ ἕξει τὸ ὕδωρ· καὶ

ſcaturientem conjeceris, quomodo dixi de puteo, is ad rationem lunae vel evaneſcet, vel implebitur.

CAP. V.

De Thynnis in Ponto.

QVEMADMODVM in Propontidem thynni innatant, et enatant, ſupra ſcripſi: jam porro qui Heracleam, Tion, Amaſtriam, Ponticas urbes incolunt, plane ſciunt, quo anni tempore ejuſmodi piſces eo accedant. Quare tum ad mare ſe conferunt, habentque permulta contra eos inſtrumenta parata, naves, retia, ſpeculam in excelſum excitatam, quam in litoris eminenti loco, et circumſpectum facilem habenti, defigunt; cujus conficiendi rationem moleſtum mihi non erit explicare, nec tibi audire injucundum. Tigna bina proceriſſima abiegna excitant intercepta et juncta inter ſe, trabibus latis et crebris immiſſis, et facilem aſcenſum ſpeculatori praeſtantibus: ſingulae naves utrinque ſex remos ac juvenes expedite remigantes habent: retia bene longa ſunt, non admodum levia, et quae magis deprimantur plumbo, quam ſurſum attollantur ſuberibus; copioſi autem iſtorum piſcium greges in ea feruntur. Itaque verno ſole illucente, ventis placide et tranquille flantibus, coelo laeto et quaſi ridente, conquieſcente a tempeſtatibus mari, jam propinquare thynnos ſimul ut ex ſpecula prudenter et acute ſpeculator proſpexit, piſcatoribus unde veniant, denunciat. Hi ad vocis ſignificationem retia tendunt: jam ſi intra retia ingrediantur, ſicut dux exercitus, vel choro praefectus, hoc ipſum ſigno dato edocet; itaque ſaepe totum gregem capit, et non aberrat a ſcopo, nec deſiderio fruſtratur. Cum vero thynnorum cohortes in altum ſeſe incitaverint, is qui ex ſpecula acerrima

oculorum

μέντοι ϗ εἰς πηγὴν ὑπανατέλλουσαν εἰ τὸν αὐτόν γε ἐμβάλλῃς ἰχθὺν, ἕξεις ἢ πεπληρωμένην αὐτὴν, ἢ κενὸν τὸν χῶρον τὸ ἐντεῦθεν.

ΚΕΦ. έ.

Περὶ τῶν ἐν Πόντῳ Θύννων.

ΟΠως μὲν οὖν εἰσνέουσί τε εἰς τὴν Προποντίδα, ϗ ὅπως ἐκνέουσιν ἄρα οἱ θύννοι, οἶδα εἰπὼν ἄνω που τὸν λόγον τόνδε· νοείτω δέ μοί τις ἐνταῦθα Ἡράκλειαν, ϗ Τῖον, ϗ Ἀμάστρειαν, πόλεις Ποντικὰς, ἐκοῦν οἱ τόνδε τὸν χῶρον πάντα οἰκοῦντες τὴν τῶν θύννων ἐπιδημίαν ἴσασι κάλλιστα. Καὶ μέντοι ϗ ἀφικνοῦνται τοῦ ἔτους τηνίκα, ϗ ὅπλα κατ' αὐτῶν εὐτρέπισται πολλὰ, ναῦς, ϗ δίκτυα, ϗ σκοπιὰ ὑψηλὴ, σκοπιὰ δὲ αὕτη ἐπί τινος αἰγιαλοῦ παγεῖσα ἀνέστηκεν ἐν περιωπῇ σφόδρα ἐλευθέρᾳ· ϗ γὰρ αὐτῆς τὸ ποίημα περιηγήσασθαι ἐμοὶ μὲν οὐκ ἔτι μόχθος, σοὶ δὲ τῷ ἀκούοντι τῆς τῶν ὤτων τρυφῆς τῶν ἐκείνου φεῦ. Δύο πρέμνα ἐλάτης ὑψηλὰ δοκίσι πλατείαις διειλημμένα ἕστηκε πυκναῖς ταύταις διυφασμέναις, ἀνελθεῖν τῷ σκοπῷ ϗ ἐπιβῆναι μάλα ἀγαθαῖς· αἱ δὲ ναῦς ἐρέτας ἑκάστη ϗ ἓξ ἔχει παρ' ἑκάτερα νεανίας εὖ μάλα ἐρέττοντας· δίκτυα δὲ προμήκη, οὐ κοῦφα λίαν, ϗ ἀνεχόμενα τοῖς φελλοῖς, μολίβδῳ γεμὴν βριθόμενα μᾶλλον· ἀθρόαι δὲ ἄρα αἱ τῶνδε τῶν ἰχθύων ἀγέλαι εἰσνέουσιν. Ἦρος δὲ ὑπολάμποντος, ϗ τῶν ἀνέμων εἰρηναῖον ἤδη καταπνεόντων, ϗ τοῦ ἀέρος φαιδροῦ τε ὄντος ϗ οἱονεὶ μειδιῶντος, ϗ τοῦ κύματος κειμένου, ϗ λείας οὔσης τῆς θαλάττης, ὁ σκοπὸς ἰδὼν σοφίᾳ τινὶ ἀποῤῥήτῳ, ϗ φύσει ὄψεως ὀξυωπεστάτῃ, λέγει μὲν τοῖς θηραταῖς, ὁπόθεν ἀφικνοῦνται οἵδε. Οἵγε μὴν πρὸς τὴν φωνὴν παρατεῖναι τὰ δίκτυα, ϗ τοῦτο ἐκδιδάσκει· εἰ δὲ ἐνδοτέρω, δίδωσιν ὥσπερ οὖν στρατηγὸς τὸ σύνθημα, ϗ χορολέκτης τὸ ἐνδόσιμον· αἱρεῖ γε μὴν πολλάκις ϗ τὸν πάντα ἀριθμὸν, ϗ οὐχ ἁμαρτήσεται τοῦ σκοποῦ. Ἐκεῖνα δὲ ὁποῖα, ὅταν ἑαυτοὺς ὠθήσωσιν εἰς τὸ πέλαγος ἡ τῶν θύννων ἴλη,

ὁ τὴν

oculorum acie horum actiones obſervat, contenta voce exclamat recta ad altum remigationem contendendam, illucque inſequendos eſſe. Hi porro, alligato ad alterum tignum, quod ſpeculam ſuſtinet, perlongo retium fune, naves ordine remis propellunt, ita ut invicem non ſeparentur (nam et rete in ſingulas diſtributum eſt naves) et prima navis, ubi ſuam retis partem ejecit, diſcedit; hoc idem facit deinceps ſecunda, et tertia, et quarta; qui quintam remis impellunt, interim ſeparant, ut mox ejecturi videantur; reliqui vero nunquam laxare debent: deinde alii alio remigant, et pro ſe quiſque retis partem trahit, poſtea quieſcunt. Thynni vero circumvallati per ignaviam et timiditatem non ſe loco movent, itaque conferti comprehenduntur; et remiges, tanquam civitate aliqua in poteſtatem redacta, totum piſcium, ut poeta diceret, populum capiunt. Norunt haec, o amici Graeci, tum Eretrienſes, tum Naxii, hac piſcatione inſignes, ut Herodotus et alii referunt. Ejus autem reliqua audietis ab aliis.

CAP. VI.

Cur Thynnos piſcantes Neptuno vota nuncupent, item de Gladio et Delphino.

NON vero in Ponto tantum capiuntur thynni, ſed in Sicilia etiam, ut mihi videtur (cum Sophron ſuavis thynnorum piſcatoris meminerit) imo et alibi quoque piſcatores eorum eſſe conſtat. Cum autem jam circumretiti tenentur, Neptuno malorum depulſori omnes omnino vota faciunt. Cujus rei cauſam dum mecum ſtudioſe inquiro, invenio illos hoc daemone maris domino opus habere, ne vel gladius piſcis, vel delphinus, huic

thynnorum

ὁ τὴν σκοπιὰν φυλάττων, καὶ ἀκριβῶν τὴν τῶν προειρημένων ἱστορίαν, καὶ μάλα ὀξὺ ἐμβοήσας, λέγει διώκειν ἐκεῖθι, καὶ τοῦ πελάγους ἐρέττειν ἰθύ. Οἱ δὲ ἐξαρτήσαντες ἐλάτης τῶν τὸν σκοπὸν ἀνεχουσῶν τῆς ἑτέρας σχοῖνον εὖ μάλα μακρὰν τῶν δικτύων ἐχομένην, εἶτα ἐπαλλήλαις ταῖς ναυσὶν ἐρέττουσι κατὰ στοῖχον, ἔχονταί τε ἀλλήλων (ἐπεί τοι καὶ τὸ δίκτυον ἐφ᾽ ἑκάστῃ διήρηται) καὶ ἥγε πρώτη τὴν ἑαυτῆς ἐκβαλοῦσα μοῖραν τοῦ δικτύου ἀναχωρεῖ, εἶτα ἡ δευτέρα δρᾷ τοῦτο, καὶ ἡ τρίτη, καὶ δεῖ καθεῖναι τὴν τετάρτην, οἱ δὲ τὴν πέμπτην ἐρέττοντες ἔτι μέλλουσι, τοὺς δὲ ἐπὶ ταύτῃ οὐ χρὴ καθεῖναί πω· εἶτα ἐρέττουσιν ἄλλοι ἄλλῃ, καὶ ἄγουσι τοῦ δικτύου τὴν μοῖραν, εἶτα ἡσυχάζουσι. Νωθεῖς δὲ ἄρα ὄντες οἱ θύννοι, καὶ ἔργον τι τόλμης ἐχόμενον ἀδυνατοῦντες δρᾶσαι, πεπιεσμένοι μένουσί τε καὶ ἀτρεμοῦσιν· οἱ δὲ ἐρέται, ὡς ἁλούσης πόλεως, αἱροῦσιν ἰχθύων, ποιητὴς ἂν εἶπε, δῆμον. Οὐκοῦν, ὦ φίλοι Ἕλληνες, καὶ Ἐρετριεῖς ἴσασι ταῦτα, καὶ Νάξιοι, κατὰ κλέος τῆς θήρας τῆς τοιαύτης παθόντες ὅσα Ἡρόδοτός τε καὶ ἄλλοι λέγουσι. Τὰ δὲ ἔτι λοιπὰ τῆς θήρας ἀκούσεσθε ἄλλων.

ΚΕΦ. ϛ.

Διὰ τί εὔχονται τῷ Ποσειδῶνι οἱ θηρῶντες τοὺς Θύννους, καὶ περὶ Ξιφίου καὶ Δελφῖνος.

Θύννων δὲ ἄρα ᾑρημένων τῇ θήρᾳ τῇ Ποντικῇ, ἐγὼ δ᾽ ἂν φαίην ὅτι καὶ Σικελικῇ (τί καὶ βουλόμενος ἂν τὸν ἡδὺν θυννοθήραν ὁ Σώφρων ἔγραψε;) πάντως δὲ καὶ ἀλλαχόθι ἄγραι τῶνδε τῶν θύννων εἰσί. Τῷ δικτύῳ ἤδη περιπλακέντων, αὐτῷ Ποσειδῶνι πάντες εὔχονται πάντως ἀλεξικάκῳ τηνικάδε. Καὶ ὁπόθεν καὶ τοῦδε τοῦ δαίμονος ἀξιῶ τὸ ὄνομα εἰπεῖν, ἐμαυτὸν καὶ μάλα γε ἀπαιτῶν τε καὶ βουλόμενος ἐπευφήμησα τοῦτο· οἱ δέονται τοῦ Διὸς ἀδελφοῦ τοῦ θαλάττης κρατοῦντος, μήτε τὸν ξιφίαν τὸν ἰχθὺν τῇδε τῇ ἴλῃ συνέμπορον

ἀφι-

thynnorum agmini captivo accedat. Nam saepe strenuus aliquis gladius, lacerato reti, thynnorum gregi irretito ad se exuendum ex laqueis facultatem dedit; delphinus etiam, ad moliendas retibus insidias acerrimus, dentibus ea conficere novit.

CAP. VII.

Quomodo Lac apud Indos dulcescat.

In India, et maxime in Prasiorum regione, liquido melle pluit, quod in herbas, ac palustrium arundinum comas, decidens mirificas pastiones ovillo et bubulo pecori praestat; quod quidem ipsum a pastoribus eo, ubi dulcis plus roris de coelo delapsum est, agitur; et sic illis pastionibus tanquam epulis jucunde recipitur, pastoresque vicissim suavi epulo compensat; nam ex pecore illi suavissimum lac exprimunt, nec ei, sicut Graeci faciunt, mel miscere habent necesse.

CAP. VIII.

De Margarita Indica.

Indica margarita, de Erythraea enim supra dixi, hoc modo capitur. Vrbs est nomine Perimuda, cui eo tempore, cum in Bactris Eucratides regnaret, Soras ex generis regii stirpe natus imperavit. Hanc quidem ipsam Ichthyophagi incolentes margaritas, retibus in orbem circa litus amplissimum extensis, comprehendunt. Margaritiferae conchae magnorum stromborum similitudinem gerentes gregatim natant; et quemadmodum apum examina reges, sic eae habent, tum coloris pulchritudine, tum magnitudine praestantes. Summa autem contentione urinatores ideo certant ad capiendum gregis ducem; quod, eo capto, cunctum

ἀφικνεῖσθαι, μήτε μὴν δελφῖνα. Ὁ γοῦν γενναῖος ξιφίας πολλάκις τὸ δίκτυον διέκειρε, καὶ ἀφῆκεν ἐλεύθερον διεκπεσεῖν τὴν ἀγέλην· καὶ δελφὶς τὸν ἐπίβουλον δικτύῳ ζῶον, διατραγεῖν γάρ τοι δεινός ἐστι.

ΚΕΦ. ζʹ.

Πῶς γλυκὺ γίνεται τὸ ἐν Ἰνδοῖς Γάλα.

Ὕεται Ἰνδῶν γῆ διὰ τοῦ ἦρος μέλιτι ὑγρῷ, καὶ ἔτι καὶ πλέον ἡ Πραισίων χώρα, ὅπερ οὖν ἐμπίπτον ταῖς πόαις, καὶ ταῖς τῶν ἑλείων καλάμων κόμαις, νομὰς τοῖς βουσὶ καὶ τοῖς προβάτοις παρέχει θαυμαστὰς, καὶ τὰ μὲν ζῶα ἑστιᾶται τήνδε τὴν ἡδίστην· μάλιστα γὰρ ἐνταῦθα οἱ νομεῖς ἄγουσιν αὐτὰ, ἔνθα καὶ μᾶλλον ἡ δρόσος ἡ γλυκεῖα κάθηται πεσοῦσα, ἀντεφεστιᾷ δὲ καὶ τὰ ζῶα τοὺς νομέας· ἀμέλγουσι γὰρ περιγλύκιστον γάλα, καὶ οὐ δέονται ἀναμίξαι αὐτῷ μέλι, ὅπερ οὖν δρῶσιν Ἕλληνες.

ΚΕΦ. ηʹ.

Περὶ τοῦ ἐν Ἰνδοῖς Μαργάρου.

Ὁ δὲ Ἰνδὸς μάργαρος, ἄνω γὰρ εἶπον περὶ τοῦ Ἐρυθραίου, λαμβάνεται τρόπῳ τοιῷδε. Πόλις ἐστὶν, ἧς ἦρχε Σώρας ὄνομα, ἀνὴρ γένους βασιλικοῦ, ὅτε καὶ Βάκτρων ἦρχεν Εὐκρατίδης, ὄνομα δὲ τῇ πόλει Περιμοῦδα. Κατοικοῦσι δὲ αὐτὴν ἄνδρες Ἰχθυοφάγοι, ὅθεν ὁρμωμένους σὺν τοῖς δικτύοις φασὶ τούσδε τοὺς προειρημένους περιλαμβάνειν ἀγκῶσι μεγάλοις αἰγιαλοῦ κύκλον εὐμεγέθη. Γίνεσθαι δὲ τὸν προειρημένον λίθον ἐκ κόγχης στρόμβῳ ἐμφεροῦς μεγάλου, νήχεσθαί τε κατὰ ἀγέλας τοὺς μαργάρους, καὶ ἔχειν ἡγεμόνας, ὡς ἐν τοῖς σμήνεσιν αἱ μέλιτται τοὺς καλουμένους βασιλέας· ἀκούω δὲ εἶναι καὶ τοῦτον διαπρεπῆ καὶ τὴν χρόαν, καὶ τὸ μέγεθος. Ἀγώνισμα δὲ ἄρα ποιοῦνται συλλαβεῖν αὐτὸν οἱ κολυμβηταὶ οἱ ὕφυδροι·

ctum gregem rectione orbatum, nec loco se moventem, assequuntur; quamdiu vero rex fugiendo elabi potest, sapienter eas regit et conservat. Iam porro captas in parvulis doliis sale condiunt, ubi cum contabuerit caro et defluxerit, unio solus relinquitur. Optimus Indicus, et in mari Rubro procreatus, existimatur. Idem in occiduo oceano, ubi insula Britannia est, nascitur; sed is magis fulvi coloris est, minusque splendidus. Iuba in Bosporo etiam freto nasci scribit, qui et Britannicis inferiores sint, et cum Indicis ac Erythraeis nullo modo comparandi. Indicus terrenus dicitur naturam habere non propriam, sed foetura esse crystalli, non gelu concrescentis, sed fossitii.

CAP. IX.

De Grue marino.

De gruibus volucribus jam prius me verba fecisse probe novi; sed gruem quoque piscem marinum, Corinthiaci pelagi alumnum, esse audivi. Declinabat autem ea pars Corinthiaci maris, qua grus piscis captus est, Atticam versus, juxta latus isthmi, quod Athenas respicit. Procedebat hic piscis ad quindecim justae mensurae pedum longitudinem; crassitudine anguillam, non tamen maximam, ut audio, aequabat. Ejus et caput et os alitis gruis speciem similitudinemque gerit, squamae pennis gentilis avis ei similes sunt. Natat autem non convoluto in spiras corpore, ut alii pisces anguillarum instar angusti et oblongi; tanto vero robore saliendi est, ut tanquam emissum a contento nervo telum feratur. In sermonem Epidauriorum venit hoc ani-

mal

τούτου γὰρ ἡρημένου, καὶ τὴν ἀγέλην αἱροῦσι πᾶσαν ἐρήμην, ὡς ἂν εἴποι τις, καὶ ἀπροστάτευτον οὖσαν· ἀτρεμεῖ γάρ, καὶ οὐκ ἔτι πρόσεισιν, οἷα δήπου ποίμνη τὸν νομέα ἀφῃρημένη, κατά τινα τύχην ἐχθράν· ἕως δὲ διαφεύγει, καὶ μάλα γε σοφῶς ἐξελίττει, καὶ προηγεῖται, καὶ σώζει τὸ ὑπήκοον. Τοὺς δὲ ληφθέντας ἐν πιθάκναις λέγονται ταριχεύειν, ὅταν δὲ ἡ σὰρξ μυδήσῃ καὶ περιῤῥυῇ, καταλείπεται ἡ ψῆφος. Ἄριστος δὲ ἄρα ὁ Ἰνδικὸς γίνεται, καὶ ὁ τῆς θαλάττης τῆς Ἐρυθρᾶς. Γίνεται δὲ καὶ κατὰ τὸν ἑσπέριον ὠκεανὸν, ἔνθα ἡ Βρεττανικὴ νῆσός ἐστι· δοκεῖ δέ πως χρυσῷ ὁπότερος ἰδεῖν εἶναι, τάς τε αὐγὰς ἀμβλυτέρας ἔχων καὶ σκοτωδεστέρας. Γίνεσθαι δέ φησιν Ἰόβας καὶ ἐν τῷ κατὰ Βόσπορον πορθμῷ, καὶ τοῦ Βρεττανικοῦ ἡττᾶσθαι αὐτὸν, τῷ δὲ Ἰνδῷ καὶ τῷ Ἐρυθραίῳ μηδὲ τὴν ἀρχὴν ἀντικρίνεσθαι. Ὁ δὲ ἐν Ἰνδίᾳ χερσαῖος οὐ λέγεται φύσιν ἔχειν ἰδίαν, ἀλλὰ ἀπογέννημα εἶναι κρυστάλλου, οὐ τοῦ ἐκ τῶν παγετῶν συνισταμένου, ἀλλὰ τοῦ ὀρυκτοῦ.

ΚΕΦ. θʹ.

Περὶ Γεράνου θαλαττίας.

Γεράνων μὲν οὖν περὶ τῶν πτηνῶν ἐν τοῖς πρεσβυτέροις λόγον εἰπεῖν ἐμαυτὸν καλῶς οἶδα· θαλάττιον δὲ γέρανον ἰχθὺν, Κορινθίῳ πελάγει ἔντροφον, ἀκοῦσαί φημι. Ἀπέκλινε δὲ ἄρα τοῦτο τὸ πέλαγος, ἔνθα ὁ γέρανος ἀνιχνεύθη οὗτος, ἐν τῷ πρὸς τὰς Ἀθήνας πελάγει, τοῦ ἰσθμοῦ κατὰ τὴν πλευρὰν τὴν εἰς αὐτὰς ὁρῶσαν. Μῆκος μὲν ἦν οὖν προήκων εἰς πεντεκαίδεκά που πόδας μεμετρημένους δικαίῳ μέτρῳ· ἐγχέλυος δέ, ὡς ἀκούω, εἶχεν οὐ μέντοι τῆς μεγίστης πάχος. Κεφαλὴ δὲ ἄρα ἐκείνη καὶ στόμα γεράνου ἐστὶ τοῦ πτηνοῦ, λεπίδες δὲ αὐτῷ, γεράνου πτερὰ καὶ ταῦτα εἶπες ἄν. Ἔρχεται δὲ οὐχ ἑλικτὴν τὴν νῆξιν, ὥσπερ οὖν οἱ τῶν ἰχθύων κατὰ τὰς ἐγχέλυς στενοὶ καὶ μακροί· ἔχει δὲ ῥώμην, καὶ μάλα ἁλτικὴν, πηδᾷ γοῦν ὥσπερ ἀπὸ νευρᾶς ὀϊστὸς ἀφεθείς. Λέγουσιν οὖν οἱ λόγοι οἱ μὲν Ἐπιδαύριοι

mal ex nullo piſce generari: ſed dum volucres grues Thracium frigus, et reliquum ad occidentem, fugiunt, obvio vento, tum feminas ad coitum exardeſcentes, tum mares veneris libidine conflagrantes, inter ſe complexu venereo jungi cupere; feminas vero ſuſpenſum coitum ſuſtinere non poſſe, idcircoque mares ſemen temere emittere, quod voti compotes fieri non poſſint: ac ſi ſupra terram volent, id ipſum ad nihilum recidere, et perire; ſin ſupra mare id delapſum, tanquam theſaurum per manus traditum, ſic a mari hunc foetum adſervari, animantemque effici, neque velut in alvum ſterilem illapſum perire. Haec Epidaurii. Sed et Demoſtratus vir genere mihi ignotus, cujus ante mentionem feci, Hunc, inquit, piſcem vidi, et magnopere conſideravi, cumque, ut aliis oſtendere poſſem, exſiccare vellem, atque coquis ipſum ſecantibus viſcera inſpicerem; tum ex utroque latere ſpinas exortas rurſum inferius inter ſe ſuis extremis coire, et ſimiliter atque tabulas legum triangulas eſſe; tum ejus jecur in longitudinem procedere adſpexi, et jecori ſubjectum fel longum, inſtar manticae aut bulgae, ut faba recens videretur: ubi vero primum jecur et fel exempta fuiſſent, ambo ſtatim intumuiſſe; ut jecur inſtar hepatis maximi piſcis videretur, fel vero lapidem, ſuper quem forte poſitum fuerat, liquefeciſſe. Hic et Epidauriorum et Demoſtrati ſermones finierim.

CAP.

τοῦτο τὸ ζῶον οὐδενὸς ἰχθύων ἔγγονον· ἀλλὰ καὶ τὰς γεράνους ϖτηνὰς φευγούσας τὸν Θρᾴκιον κρυμὸν, καὶ τὸν ἑσπέριον τὸν ἄλλον, ἐμπίπτειν μὲν τῷ ϖνεύματι, τάς γε μὴν θηλείας εἰς μίξιν οἰστρεῖσθαι, τοὺς δὲ ἄῤῥενας αὐταῖς ἐπιφλέγεσθαι, καὶ μέντοι καὶ ἐς τὴν ϖρὸς αὐτὰς ὁμιλίαν κυμαίνειν, καὶ διὰ ταῦτά τοι καὶ διαβαίνειν αὐτὰς ἐθέλειν· τὰς δὲ, οὐχ ὑπομένειν γὰρ οἷόν τε εἶναι μετέωρον μίξιν, φέρειν οὐδὲ ἑτέραν, τοὺς δὲ ἐγκρατεῖς οὐκ ἔχοντας γενέσθαι τοῦ ϖόθου, ἐκβάλλειν τὴν γονήν· καὶ εἰ μὲν τύχοιεν ὑπὲρ γῆς φερόμενοι, τήνδε ἐκπίπτειν εἰς οὐδὲ ἓν, ἀλλ' ἀπόλλυσθαι ἄλλως· εἰ δὲ ὑπὲρ τοῦ ϖελάγους ϖέτοιντο, ἐνταῦθά τοι τὴν θάλατταν, ὡσπεροῦν θησαύρισμα ϖαραλαβοῦσαν φυλάττειν ἔμβρυον, καὶ γεννᾷν τὸ ζῶον τοῦτο, ἀλλ' οὐ διαφθείρειν ὥσπερ εἴς τινα ἄγονον καὶ στερίφην γαστέρα ἐμπεσόν. Καὶ τούτων μὲν τῶν λόγων ἅτερος καὶ δὴ διηνύσθη ὁ Ἐπιδαύριος. Λέγει δὲ καὶ ἄλλος, οὗ τὸ γένος οὐκ οἶδα, ἑτέραν ὁδὸν τρεπόμενος (εἶτα μέντοι οὐ ταὐτὰ ὁμολογεῖ, ὡς ἂν μὴ δοκῇ μὴ ἀμαθὴς εἶναι αὐτοῦ) λελέξεται μέντοι καὶ ἐκεῖνος Δημόστρατος, οὗπερ οὖν καὶ ἀνωτέρω μνήμην ἐποιησάμην· Εἶδον τὸν ἰχθῦν, ἦ δ' ὃς, καί μοι εἰσῆλθεν αὐτοῦ θαῦμα, καὶ ἐβουλήθην αὐτὸν ϖοιῆσαι τάριχον, ἵνα ᾖ καὶ ἄλλῳ βλέπειν· οὐκοῦν ἐνεργῶν ὄντων καὶ ἀνοιγνύντων τῶν μαγείρων αὐτὸν, καὶ τεμνόντων τὴν γαστέρα, ἐπεσκόπουν τὰ σπλάγχνα αὐτός· ἀκάνθας εἶδον ἐξ ἑκατέρας τῆς ϖλευρᾶς συνιούσας τε καὶ ἐκκλινούσας τὰ ϖέρατα εἰς ἀλλήλας, τρίγωνοι δὲ, φησὶ, ἦσαν ὡσπεροῦν αἱ κύρβεις· ἧπάρ τε ἐνέκειτό οἱ ϖροῆκον εἰς μῆκος, ὑπέκειτο δὲ αὐτῷ καὶ χολὴ μακρὰν ἔχουσα τὴν φύσαν κατὰ τὰ φασκώλια, εἶπες δ' ἂν ἰδὼν τὴν χολὴν κύαμον ὑγρὸν εἶναι· ἐξαιρεθέντα οὖν ἄμφω, καὶ ἡ χολὴ καὶ τὸ ἧπαρ, οὐ μεθ' ὕστερον μέντοι διογκωθῆναι· καὶ ἐῴκει ἰχθύος ἥπατι μεγίστου, διατήξασα δὲ ἡ χολὴ τὸν λίθον, καὶ γάρ πως ἔτυχε τεθεῖσα ἐπὶ λίθου, εἶτα ἠφανίσθη. Ἄμφω δὲ τὼ λόγω τώδε ἐνταῦθα ὁρίζομεν.

ΚΕΦ.

CAP. X.

De captura Pelamydum.

RATIONEM piſcandi pelamydes, haud ſane pervulgatam, non a ſeria conſideratione alienum eſt explicare. Decem juvenes, ad ſummum aetatis vigorem floreſcentes, expeditam navem et celerem conſcendunt; et ſimulatque ſe cibo expleverint, pariter continuo aequaliterque in utrumque navis latus diſtributi remigare contendunt, atque huc illuc errant. Eorum unus aliquis ad puppim ſedens, armatas hamis lineas binas, quibus et aliae adnectuntur, ad utramque navis partem demittit; tum ad ſingulos hamos eſcam ex purpura Lacaena confectam ſtricte religat, tum lari [marinae avis] pennam ad hamum quemque alligat, ut ab occurrente aqua ſenſim et leviter agitetur. Pelamydes autem eſcae ſic inſtructae illecebra delinitae in hamos innatant; et cum ex iis aliqua liguritione apprime ſtimulata os in eſcam impegerit, tum reliquae conſequentes hamis configuntur, ut hami ob multitudinem uno eodemque tempore transfixorum piſcium vexentur. Iuvenes vero remigare deſiſtentes, de tranſtris ſurgunt ad ſubtrahendas lineas multitudine piſcium onuſtas: quos poſteaquam in navem ſubduxerunt, ſecundiſſima piſcatio ex permagno piſcium numero aperte oſtenditur.

CAP. XI.

De Muſtela terreſtri et marina.

MVSTELAM terreſtrem aliquando mulierem fuiſſe audivi, eodemque nomine vocatam, quo nunc a Graecis quadrupes vocatur gale, incantationum ac veneficiorum peritam, immodice protervam, et inceſta libidine laborantem; nec illud me latet, quod ab Hecate irata in hanc feram converſa dicitur. Sed haec dea

ΚΕΦ. ί.

Περὶ θήρας Πηλαμύδων.

Θήραν δὲ πηλαμύδων εἰπεῖν, μὴ πάντη οὖν συνειθισμένην, οὐκ ἔστιν ἔξω τῆσδε τῆς σπουδῆς. Δέκα νεανίαι τὸ ἀκμαιότατον ἀνθοῦντες ἀναβαίνουσι ναῦν ἐλαφρὰν, καὶ διὰ ταῦτα μέντοι καὶ ταχυτάτην· διανέμοντες δὲ αὐτοὺς εἰς ἑκατέραν ἴσους τὴν πλευρὰν, καὶ κορεσθέντες εὖ μάλα τροφῆς, εἶτα μέντοι τοῖς ἐρετμοῖς καὶ ἕκαστος ἐπιχειροῦσι, πλανώμενοι δεῦρο κἀκεῖσε. Κάθηται δὲ εἷς ἐπὶ τῆς πρύμνης, καὶ ἐντεῦθέν τε καὶ ἐκεῖθεν παρασείρους καθίησιν ὁρμιὰς, ἤρτηνται δὲ τούτων καὶ ἄλλαι, καὶ συνῆπται πάσαις τὰ ἄγκιστρα· καὶ ἕκαστον ἄγκιστρον δέλεαρ φέρει Λακαίνης πορφύρας μαλλὸν κατειλημμένον, καὶ πτερὸν μέντοι λάρου ἑκάστῳ ἀγκίστρῳ προσήρτηται ἡσυχῆ, ὥστε διασείεσθαι ὑπὸ τοῦ προσπίπτοντος ὕδατος. Τούτων οὖν ἱμέρῳ προσνέουσιν αἱ πηλαμύδες· μία δὲ ἡ πρωτένθης ὅταν τὸ στόμα ἐναπερείσῃ, προσίασι καὶ αἱ λοιπαὶ, καὶ δονεῖται τὰ ἄγκιστρα ὑπὸ τὸν αὐτὸν καιρὸν περιπαρέντα τοῖς ἰχθύσιν. Οἱ ἄνδρες οὖν τοῦ μὲν ἐρέττειν ἔτι ἀπέστησαν, παρῆκαν δὲ τὰς κώπας, ἐξαναστάντες δὲ ἀνασπῶσι τὰς μηρίνθους εὐαγρούσας, καὶ μέντοι καὶ βριθομένας τοῖς ἰχθύσιν· ὅταν δὲ ἐς τὴν ναῦν ἐμπέσωσι, διαφαίνεται τῆς εὐθηρίας τὸ μαρτύριον ἐκ τοῦ πλήθους τῶν ἰχθύων τῶν ἑαλωκότων.

ΚΕΦ. ιά.

Περὶ Γαλῆς χερσαίας τε καὶ θαλαττίας.

Η Χερσαία γαλῆ ὅτι ἦν ἄνθρωπος ἤκουσα, καὶ ὅτι τοῦτο ἐκαλεῖτο, καὶ ὅτι ἦν γόης καὶ φαρμακὶς, καὶ ὅτι δεινῶς ἀκόλαστος ἦν, καὶ ἀφροδίτην παράνομον ἐνόσει, καὶ ταῦτα εἰς ἀκοὴν τὴν ἐμὴν ἀφίκετο· καὶ ὡς εἰς τοῦτο τὸ ζῶον τὸ κακὸν ἔτρεψεν αὐτὴν Ἑκάτης τῆς θεοῦ μῆνις, οὐδὲ αὐτό με λέληθεν. Ἡ μὲν

dea mihi benigna ſit, ego hujuſmodi fabulas aliis relinquo. Hanc beſtiam inſidioſiſſimam eſſe conſtat, inque defunctos homines invadere, et, niſi arceatur, eorum oculos diripere et exſorbere. Teſticulos ejus mulieri ſive dolo, ſive ſponte, appenſos omnes conceptus, et fecunditatis vim, abolere dicunt. Ejuſdem viſcera, neſcio quo modo praeparata, harum rerum artificibus cognito, et inſidioſe immiſſa vino, amicitiam dirimunt, et benevolentiam prius coalitam diſſolvunt, ut quidam aiunt. Verum haec magis et veneficis, quibus Martem ſuum inimicitiae principem colant, cedamus. Eſt et parvus piſcis, muſtela nomine, qui nullam cum muſtelo dicto piſce communitatem habet. Hic enim cartilagineus eſt, et pelagius, et magnitudine praeſtans, ſimul et caniculae piſcis ſpeciem ſimilitudinemque gerit: muſtelam vero diceres eſſe hepatum; nam piſcis eſt parvus, et oculis conniventibus, pupillae oculorum ad cyaneum colorem accedunt; ejus barba quam hepati major eſt, et minor quam chremetis; algas depaſcitur, et ſaxatilis eſt, atque ſimiliter ut terrena omnium cadaverum, in quae incurrit, oculos exeſt et conficit, ut audio. Qui Epirum incolunt piſcatores quidam veneficiis dediti ad eadem hac marina muſtela utuntur, ad quae alii terrena. Porro cum plerique piſces carnivori ſint, homines urinatores, qui maris interiora ſcrutantur, manuum volas et pedum veſtigia denigrant, ut partium iſtarum ſplendor obſcuretur; hae enim prae ceteris humani corporis partibus in aqua reſplendere, et piſces ad ſe allicere ſolent.

CAP.

οὖν θεὸς, ἵλεως ἔστω μύθους δὲ ἐῶ καὶ μυθολογίαν ἄλλοις. Ὅτι δέ ἐστι θηρίον ἐπιβουλότατον, καὶ νεκροῖς ἀνθρώποις ἐπιτίθενται γαλαῖ, καὶ μὴ φυλαττόμεναι ἐπιτιθεῖσι, καὶ συλῶσι τοὺς ὀφθαλμοὺς καὶ ἐκροφοῦσι, δῆλόν ἐστι. Φασὶ δὲ καὶ ὄρχεις γαλῆς γυναικὶ κατ' ἐπιβουλὴν, ἢ ἑκούσῃ, περιαφθέντας ἐπισχεῖν τὸ ἔτι μητέρας γίνεσθαι, καὶ ἀναστέλλειν αὐτῶν. Σπλάγχνα δὲ γαλῆς, σκευασίαν δέ τινα προσλαβόντα, ἣν ἴστωσαν οἱ σοφοὶ τὰ κατὰ ταῦτα, καὶ εἰς οἶνον ἐμβληθέντα κατ' ἐπιβουλὴν, φιλίαν, ὡς λόγος, διΐστησι, καὶ ἡνωμένην τέως εὔνοιαν διακόπτει. Καὶ ὑπὲρ μὲν τούτων τοὺς γόητάς τε καὶ φαρμακέας Ἄρει φίλῳ κολάζειν καὶ διακαίειν καταλείπωμεν. Εἴη δ' ἂν καὶ ἰχθὺς γαλῆς, μικρὸς οὗτος, καὶ οὐδέν τι κοινὸν πρὸς τοὺς καλουμένους γαλεοὺς ἔχων. Οἱ μὲν γάρ εἰσι σελάχιοι, καὶ πελάγιοι, καὶ μέγεθος προήκοντες, εἶτα μέντοι καὶ κυνὶ ἐοίκασιν· ἡ γαλῆ δὲ, φαίην ἂν αὐτὴν εἶναι τὸν καλούμενον ἥπατον· ἰχθὺς δέ ἐστιν αὕτη βραχὺς, καὶ τὼ ὀφθαλμὼ ἐπιμέμυκε· κόρας δὲ ἔχει κυανοῦ χρόᾳ προσεικασμένας· καὶ τὸ μὲν γένειον ἔχει τοῦ ἥπατος μεῖζον, ἡττᾶται δὲ αὖ πάλιν τοῦ χρέμητος κατάγε τοῦτο· πετραίαν δὲ οὖσαν τὴν γαλῆν, καὶ νεμομένην φυκία, ἀκούω πάντων σωμάτων, οἷς ἂν νεκροῖς τύχῃ, τοὺς ὀφθαλμοὺς καὶ ταύτην ὡς τὴν χερσαίαν ἐσθίειν. Χρῶνται δὲ αὐτοῖς ἐς τὰ ὅμοια ἁλιεῖς, ὅσοι κατὰ τοὺς Ἠπειρώτας φαρμακεύουσι, πονηροὶ καὶ οὗτοι σοφισταὶ κακῶν. Ἐπεὶ δὲ ὠμοβόρον ἐστὶ τὸ τῶν ἰχθύων φῦλον πᾶν, τὸ ταῖς ὑδροθηρίαις γένος συμβιοῦν, καὶ τὰς ἀποδύσεις τὰς κατωτάτω μετιὸν, μελαίνουσι τὰς ἑαυτῶν βάσεις, καὶ τὰ κοῖλα τῶν χειρῶν, ἀφανίζειν πειρώμενοι τὴν ἐξ αὐτῶν αὐγήν· τὰ γάρ τοι τῶν ἀνθρωπίνων μελῶν, ὡς ὅτι μάλιστα ἐκλάμποντα ἐν τῷ ὕδατι, καὶ ἐφολκὰ τῶν ἰχθύων ταῦτά ἐστιν.

CAP. XII.
De Chamis marinis.

CHAMAE marinae et variae et multiplices ſunt: aliae aſperae, aliae laeves; quaedam digitorum compreſſu confringuntur; aliae vel ſaxo aegre conteruntur; et hae quidem nigerrimae ſunt, nonnullae argentei coloris ſimilitudinem gerere videntur, illae utroque colore mixto inſignes. Ac quemadmodum earum eſt varium et multiplex genus, ſic multas et diverſas ſedes habent; quaedam enim in litoribus diſperſae jacent in arena, vel in limo quieſcunt, nonnullae ſub algam ſubjiciuntur, aliae in limo commorantur, aliae ſaxis tanquam mordicus adhaerent. Aeſtivo tempore, cum incipit meſſis, in Iſtrico mari gregatim ſupernatant, et leviter feruntur: cum ante id tempus ſua ſibi mole graves efferri non poſſent. Euri, boreae, et auſtri idcirco fugientes ſunt, quod eos ventos ferre non poſſint. Contra ex tranquillo mari mirifica voluptate adficiuntur, et favonii mollibus auris adflari gaudent; eamque ob rem in latebras abditae, et ſuis conniventes teſtis, cum a tempeſtatibus mare ſentiunt conquieſcere, et favonium flare, tum relictis ſedibus, ad ſummam maris aquam natant, et apertis teſtis eminent, et tanquam vel ſponſae e thalamis prodeunt, vel roſae ad ſolis radios exporrectae ex involucris ſeu calycibus ſuis erumpunt; quieſcentes igitur ventum expectant placidum ac ſecundum; qui ſi contigerit, alteram concham ſubſternentes, alteram erigentes, hac pro velo, illa pro navi ad navigandum utuntur; ut ſi eas procul videas ſic per tranquillum mare natantes, claſſem navium exiſtimes. Quod ſi navem ad ſe accedere ſentiunt, aut belluae impetum

ΚΕΦ. ιϐ'.

Περὶ τῶν θαλαττίων Χημῶν.

C A P. XII.

De Cetis Indici maris, et Lupis piſcibus, et Amiis, Auratiſque.

Cete in mari Indico quintupla ad elephantum vel maximum magnitudine degunt; nam una etiam coſta ceti ad viginti cubita accedit, labrum habet quindecim cubitorum, pinnam ad utranque branchiam ſeptem cubitos longam. Purpurae etiam et buccina hujus maris tanta ſunt, ut facile congium capiant; quemadmodum et echinorum teſtae ſive cruſtae. Sunt et piſces magnitudine immenſa, praeſertim lupi, amiae, et auratae. Fertur autem, quo tempore fluvii augentur, et majore jam profluentes impetu in agros exundant, hos piſces etiam ſimul abreptos inundationem ſequi, et per agros in pauca et tenui aqua ferri et oberrare; poſtquam vero imbres, ex quibus augentur fluvii, ceſſarint, et confluentes ad ſuos redierint alveos, in humilibus, planis, paluſtribus, et ſinuoſis locis, ubi et enneae, ut vocant, reperiri ſolent, piſces vel octo cubitorum relicti, quippe qui non in profundo

ϗ πρόεισι, ϗ κέχρηται προθυμίᾳ μᾶλλον, ἢ σκελῶν ὠκύτητι. Καὶ διώκεται μὲν ὑπὸ ἱππέων, ϗ κυνῶν ἀγαθῶν δραμεῖν· ἐὰν μέντοι συνίδῃ ὅτι ἄρα ἁλίσκεσθαι μέλλει, τὴν οὐρὰν ἀπέκρυψεν ἔν τινι δάσει· αὐτὸ δὲ ἀντιπρόσωπον ἕστηκε, ϗ δοκεύει τοὺς θηρατὰς, ϗ ὑποθαῤῥεῖ πως, ϗ οἴεται μηκέτι φανεῖσθαι περισπούδαστον, τῆς οὐρᾶς μὴ βλεπομένης· ἐκείνην γὰρ οἶδεν εἶναι τὸ κάλλος. Κενὴν δ' ἴσχει τὴν ὑπὲρ τοῦδε φαντασίαν· βάλλει γάρ τις αὐτὸ βέλει πεφαρμαγμένῳ, ϗ ἀποκτείνας ἀποκόψει τὴν οὐρὰν, τὸ ἆθλον τῆς ἄγρας· ϗ δείρας τὸ πᾶν σῶμα (ἀγαθὴ γὰρ ϗ ἡ δορὰ) ἀφῆκε τὸν νεκρόν· σαρκῶν γὰρ τῶν ἐκείνου δέονται Ἰνδοὶ οὐδὲ ἕν.

ΚΕΦ. ιβ'.

Περὶ τῶν Κητῶν τῶν ἐν τῇ θαλάττῃ τῇ Ἰνδικῇ, Λαβράκων τε, ϗ Ἀμιῶν, ϗ Χρυσοφρύων.

ΚΗτη δὲ ἦν ἄρα ἐν τῇ τῶν Ἰνδῶν θαλάττῃ πενταπλασίονα μέγεθος ἐλέφαντος τοῦ μεγίστου· πλευρὰ γοῦν μία κήτους ϗ εἰς τοὺς εἴκοσι πήχεις πρόεισι, χελύνην δὲ πηχῶν πεντεκαίδεκα ἔχει, τὸ δὲ πτέρωμα βραγχίου ἑκατέρου πηχῶν τὸ εὖρος ϗ ἑπτά. Κήρυκες δὲ ϗ πορφύραι ὡς ϗ χοῦν ῥᾷστα δέξασθαι, ϗ μέντοι ϗ τῶν ἐχίνων τὰ χελώνια δύναιτο ἂν τοσοῦτον στέγειν. Μεγέθη δ' ἰχθύων ἄπειρα, λαβράκων μάλιστα, ϗ ἀμίαι, ϗ χρύσοφροι. Ἀκούω δὲ τούτους κατὰ τὴν ὥραν, ὅταν ἐπιῤῥέωσιν οἱ ποταμοὶ, ϗ λάβροι κατιόντες ἐκ τῆς πλημμύρας ϗ ἐς τὴν γῆν ἀναχέωνται, ϗ αὐτοὺς ὑπερχεῖσθαι, ϗ κατὰ τὰς ἀρούρας, ϗ ἐν ὕδατι λεπτῷ φέρεσθαί τε ϗ ἀλᾶσθαι· παυσαμένων δὲ τῶν ὑπερπιμπλάντων τοὺς ποταμοὺς ὑετῶν, ϗ ἀναχωρούντων ὀπίσω τῶν ῥευμάτων, ϗ ἐς τὰς ὁδοὺς τὰς κατὰ φύσιν ὑποστρεφόντων, ἐν τοῖς καθειμένοις χωρίοις, ϗ τοῖς τεναγώδεσι ϗ ἀπέδοις, ἔνθα δήπου φιλοῦσι ϗ ἐννέαι καλούμεναι κόλπους τινὰς ἔχειν, ἰχθῦς ἀπομένουσι ϗ ὀκτὼ πηχῶν· ϗ αἱροῦσιν οἱ γεωργοῦντες αὐτοὺς, ἀσθενεῖ

profundo maris, ſed in ſuperficie feruntur, et vitam utcunque ſuſtinentes, ab agricolis capiuntur.

C A P. XIII.

De Raiis et Squillis Indicis.

INDICIS piſcibus haec etiam peculiaria ſunt. Non minores Argolico clypeo raiae gignuntur in India, itemque ſquillae locuſtis majores Indicae ſunt. Harum quae ex mari veniunt in Gangem, forcipes maximas et tangentibus aſperas habent; quae vero ex mari Rubro in Indum excidunt, laeves audio habere ſpinas, ſed oblongos et implicatos ab eis dependentes cirros, et forcipibus carere.

C A P. XIV.

De fluviatili et terrena Teſtudine.

TESTVDO Indica fluviatilis etiam maxima eſt, et teſtam habet non minorem ſcapha juſtae magnitudinis; decem enim leguminum medimnos capit. At illic quoque terrenae teſtudines gignuntur, magnitudine maximarum glebarum, quae in altis arationibus terrae non difficilis excitantur, bene penitus intrante aratro, et ſulcum facillime proſcindente, et glebas in excelſum excitante. Ejuſmodi teſtudinum genus aiunt teſtas exuere; ac ſane eaſdem ab agricolis ſic ligonibus abſtrahi, quemadmodum vermes ex verminoſis plantis; eaedemque non amarae, ut marinae ſunt; ſed et ſuaves et pingues habentur earum carnes.

C A P.

τῇ νήξει χρωμένους, ἅτε μὴ ἐν βυθῷ φερομένους, ἀλλὰ ἐπιπολῆς, καὶ ἐκ τοῦ ὀλίγου ὕδατος ἀγαπητῶς καὶ μόλις ἀποζῶντας.

ΚΕΦ. ιγ΄.

Περὶ Βατίδων καὶ Καρίδων Ἰνδικῶν.

ΙΝδῶν δὲ ἰχθύων ἴδια καὶ ἐκεῖνα. Βατίδες γίνονται παρ᾽ αὐτοῖς οὐδέν τι μείους Ἀργολικῆς ἀσπίδος ἑκάστη, καρίδες τε καὶ μείζους καράβων αἱ Ἰνδῶν εἰσίν· αἱ μὲν οὖν ἐκ τῆς θαλάττης ἀναθέουσαι διὰ τοῦ ποταμοῦ τοῦ Γάγγου χηλὰς μεγίστας ἔχουσι, καὶ τραχείας θίγειν αὐτῶν· τάς γε μὴν ἐκ τῆς Ἐρυθρᾶς ἐκπι-πλέουσας εἰς τὸν Ἰνδὸν λείας ἔχειν πέπυσμαι τὰς ἀκάνθας, προμήκεις γε μὴν καὶ βοστρυχώδεις τὰς ἀπηρτημένας ἕλικας· χηλὰς δὲ οὐκ ἔχειν ταύτας.

ΚΕΦ. ιδ΄.

Περὶ Χελώνης ποταμίας τε καὶ χερσαίας.

ΧΕλώνη δὲ ἐν Ἰνδοῖς ποταμία, μεγίστη τε αὕτη, καὶ τὸ χελώνειον ἔχει σκάφης οὐ μεῖον τελείας, χορηγοῦν ἕκαστον μεδίμνους δέκα ὀσπρίων. Γίνονται δὲ καὶ χερσαῖαι χελῶναι, καὶ εἶεν ἂν τὸ μέγεθος κατὰ τὰς βώλους τὰς μεγίστας, αἵπερ οὖν ἐπανίστανται ἐν τοῖς βαθέσιν ἀρόμασιν, εὐπειθοῦς μὲν οὔσης τῆς γῆς, εἰς πολὺ δὲ κατιόντος τοῦ ἀρότρου, καὶ τὴν αὔλακα σχίζοντος ῥᾷστα, καὶ ἐγείροντος τὰς βώλους ὑψοῦ. Ταύτας δὲ καὶ ἀποδύεσθαι τὸ ἔλυτρόν φασιν· οἱ τοίνυν ἀρόται, καὶ πᾶν τὸ περὶ τοὺς ἀγροὺς ἐργατικὸν, ταῖς μακέλλαις ἀνασπῶσιν αὐτὰς, καὶ ἐξαιροῦσιν ὥσπερ οὖν ἐκ τῶν θριπηδεστάτων φυτῶν τὰς εὐλάς· εἰσὶ δὲ γλυκεῖαι τὴν σάρκα καὶ πίονες, οὐ μὴν κατὰ τὰς θαλαττίας, πικραὶ καὶ αὗται.

CAP. XV.

Animalia Indica ſolertia, et de Formicis.

NATVRALI quodam ingenio et prudentia valent etiam apud nos animalia, non totidem tamen quot ſunt in India. Illic enim ejuſmodi ſunt, elephantus, pſittacus, ſphinges, et nuncupati ſatyri; ſed et Indica formica etiam ſolers. Noſtrates quidem formicae cavernas et latibula quaedam effodiunt, ſub terra habitantes, et veluti in fodinis metallicis cuniculiſque eruendis ſeſe exercent; at Indicae domunculas commodas in excelſis locis conſtruunt, non in devexis et planis, qui facile inundari queant. In eis ambitus, et, ut ita dicam, foſſas Aegyptias, vel Creticos labyrinthos, ineffabili ſapientia effodientes domeſticas ſedes conſtituunt, non rectas quidem et pervias, aut in quas quippiam influere poſſit, ſed ſinuoſis foraminibus obliquas; in quarum ſuperficie foramen unum relinquunt, per quod quidem ipſum ingrediantur ipſae, et ſemina, quae colligunt, in ſuos theſauros inferant. In excelſis quidem locis latibula machinantur, ut fluminum eluvies et inundationes effugiant. Itaque hac ſua induſtria veluti in ſpeculis habitare poſſunt, aut etiam inſulis, cum ſcilicet adjuncta colliculis illis humiliora loca circumquaque ſtagnant. Ipſorum vero aggeres quanquam congeſti, tantum abeſt alluente aqua ut ſolvantur ut confirmentur magis; primum enim ex matutino rore admixto pulveri tunica quadam veſtiuntur, ut ita dicam, tenui, ſed valida; deinde parte inferiori de fluviatili coeno cortex muſcoſus adnaſcens aggerem adſtringit. Sed de formicis Indicis etiam iterum dicam, haec in praeſentia dicta ſufficiant.

CAP.

Κ Ε Φ. ιέ.

Θυμόσοφα Ἰνδικὰ ζῶα, ϗ περὶ Μύρμηκος.

ΘΥμόσοφα δὲ ϗ παρ' ἡμῖν ζῶά ἐςιν, ἐ μὴν ὅσα ἐν Ἰνδοῖς ἐςιν, ἀλλ' ὀλίγα. Ἐκεῖ δὲ ὅ, τε ἐλέφας τοιῦτός ἐςι, ϗ ὁ Ϲιτ]ακὸς, ϗ αἱ Ϲφίγ]ες, ϗ οἱ καλέμενοι Ϲάτυροι· Ϲοφὸν δὲ ἄρα ἦν ϗ ὁ μύρμηξ ὁ Ἰνδός. Οἱ μὲν ἐν ἡμεδαποὶ τὰς ἑαυ]ῶν χειὰς ϗ ὑποδρομὰς ὑπὸ τὴν γῆν ὀρύτ]ϐσι, ϗ φωλεὺς τινας κρυπ]ὺς ἀποφαίνϐσι γεωρυχῦντες, ϗ με]αλλείας, ὡς εἰπεῖν, τισὶν ἀποῤῥήτοις ϗ λανθανέσαις κα]αξαίνον]αι· ἀλλὰ οἵγε Ἰνδοὶ μύρμηκες οἰκίσκϐς τινὰς Ϲυμφορη]ὺς ἐργάζον]αι, ϗ τὺς γε αὐτὺς ἐκ ἐν χωρίοις ὑπ]ίοις ϗ λείοις ϗ ἐπικλυζομένοις ῥᾶςα, ἀλλὰ με]εώροις ϗ ὑψηλοῖς. Ἐν αὐτοῖς δὲ περιόδϐς τινὰς, ϗ, ὡς εἰπεῖν, Ϲύριγ]ας Αἰγυπ]ίας, ἢ λαβυρίνθϐς Κρη]ικὺς, Ϲοφίᾳ τινὶ ἀποῤῥήτῳ δια]ρήσαν]ες οἰκεῖα ἑαυ]οῖς ἀπέφηναν, ἐκ εὐθυ]ενῆ ϗ ῥάδια παρελθεῖν ἢ εἰσρεῦσαί τι, ἀλλ' ἑλι]μοῖς ϗ δια]ρήσεσι λοξά· ϗ ἀπολείπϐσί γε ἐπιπολῆς μίαν ὀπὴν, δι' ἧς εἰσίασί τε αὐτοὶ, ϗ τὰ Ϲπέρμα]α, ὅσα ἐκλέγον]αι, εἶτα ἐς τὺς ἑαυ]ῶν θησαυρὺς εἰσκομίζϐσι. Παλαμῶν]αι δὲ ἄρα τὰς ἐν ὕψει φωλεύσεις, ὑπὲρ τῦ τὰς ἐκ τῶν πο]αμῶν ἀναχύσεις τε ϗ ἐπικλύσεις διαδιδράσκειν. Καὶ αὐτοῖς ὑπὲρ τῆσδε τῆς Ϲοφίας περιγίνε]αι ὥσπερ ἐν Ϲκοπιαῖς τισιν, ἢ νήσοις κα]οικεῖν, ὅταν τῶν λοφιδίων ἐκείνων τὰ κύκλῳ περιλιμνάσῃ. Τὰ δ' ἐν χώμα]α ἐκεῖνα καί τοι Ϲυμπεφορημένα, τοσῦτον ἀποδεῖ τῦ λύεσθαί τε ϗ διαξαίνεσθαι ὑπὸ τῆς περικλύσεως, ὡς ϗ κρα]ύνεσθαι αὐτά· πρῶτον μὲν ὑπὸ τῆς ἑῴας δρόσϐ, ὑπαμφιέννυ]αι γὰρ, ὡς εἰπεῖν, ἐκ ταύτης ϗ πάτϐ τινὰ χι]ῶνα ὑπόλεπ]ον, πλὴν καρ]ερόν· εἶτα μέντοι δεσμεύε]αι κάτω βρυώδει τῆς πο]αμίας ἰλύος φλοιῷ. Καὶ μυρμήκων μὲν Ἰνδῶν πέρι ἴσμαι πάλαι, ἐμοὶ δὲ νῦν ἐς τοσῦτον λελέχθω.

CAP. XVI.

De Animalibus, quae in Plutonis hiatum dejiciuntur.

APVD Arianos Indos hiatus Plutonis eſt, in cujus profundo occultae cavernae, et viae abſconditae, et hominibus incognitae ac profundae, et in immenſum ſpatium porrectae; quemadmodum autem ſint in tantam altitudinem depreſſae, neque Indi explicant, neque id ego cognoſcere admodum laboro. Amplius triginta millia diverſorum animalium, ovium, caprarum, boum, et equorum, eo agunt Indi; ac quiſquis vel ſomnio, vel voce divina, aut oſtento perculſus fuerit, malive auſpicii avem inſpexerit, is pro facultatibus ſuis ſe ſuamque ſalutem redimens, dejici curat animal. Iſta autem nec conſtricta vinculis, nec alio modo adacta, ſed ſua ſponte viam conficiunt, tanquam ſecretis illecebris quibuſdam allecta; poſtea vero quam ad barathri fauces acceſſerunt, non invita deſiliunt, neque ſane poſtquam in hiatum immenſum et caecum inciderunt, amplius hominibus comparent. Boum tamen mugitus, ovium balatus, hinnitus equorum, et caprarum vox ſupra exaudiuntur; ac ſi quis ſuperne inceſſerit, et aures illius faucibus admoverit, diutiſſime ejuſmodi voces audiet; neque enim ſane promiſcuus ille ſonus ceſſat reſonare, quod eo quotidie ad ſalutem ſuam redimendam praecipites beſtias agunt Ariani. Anne vero ſolae recentes dejectae exaudiantur, an etiam ex primis quaedam, haud equidem ſcio; exaudiuntur vero. Et hoc ſingulare animalium, quae illic ſunt, dictum quoque eſt mihi.

CAP.

Κ Ε Φ. ιϛʹ.

Περὶ τῶν ἐν τῷ Πλούτωνος χάσματι ἐμβαλλομένων Ζώων.

Παρὰ τοῖς Ἀρειανοῖς τοῖς Ἰνδικοῖς χάσμα Πλούτωνός ἐστι, καὶ κάτω τινὲς ἀπόρρητοι σύριγγες, καὶ ὁδοὶ κρυπταὶ, καὶ διαδρομαὶ ἀνθρώποις ἀθέατοι, βαθεῖαι δ᾽ οὖν, καὶ ἐπὶ μήκιστον προήκουσαι· γενόμεναι δέ πως καὶ ὀρωρυγμέναι, τρόπῳ τῷ οὔτε Ἰνδοὶ λέγουσιν, οὔτε ἐγὼ μαθεῖν πολυπραγμονῶ. Ἄγουσι γοῦν Ἰνδοὶ καὶ ὑπὲρ τὰ τρισμύρια ἐνταῦθα κτήνη διάφορα, προβάτων τε, καὶ αἰγῶν, καὶ βοῶν, καὶ ἵππων· καὶ ἕκαστος τῶν ἢ δεισάντων ἐνύπνιον, ἢ ὄτταν τινὰ, ἢ φήμην, ἢ ὄρνιν οὐκ εὔεδρον ὑφορωμένων, ἀντὶ τῆς ἑαυτοῦ ζωῆς ἐμβάλλει κατὰ τὴν οἴκοθεν αὐτοῦ δύναμιν, ἑαυτὸν λυτρούμενος, καὶ διδοὺς ὑπὲρ τῆς ἑαυτοῦ ψυχῆς τὸ ζῶον. Τὰ δὲ ἄγεται οὔτε δεσμοῖς ἐπαγόμενα, οὔτε ἐλαυνόμενα ἄλλως, ἑκόντα δὲ τὴν ὁδὸν τήνδε ἀνύει, ἕλξει τινὶ καὶ ἴυγγι ἀπορρήτῳ· εἶτα ἐπιστάντα τῷ στομίῳ ἑκόντα ἐμπηδᾷ, καὶ ὄψει μὲν ἀνθρωπίνῃ οὐκ ἔστιν οὐκ ἔτι σύνοπτα, εἰς γῆς χάσμα ἀπόρρητόν τε καὶ ἀφανὲς ἐμπεσόντα. Ἀκούονται γοῦν ἄνω βοῶν μὲν μυκηθμοὶ, τῶν δὲ οἰῶν βληχὴ, χρεμετισμὸς δὲ τῶν ἵππων, καὶ μηκασμοὶ τῶν αἰγῶν· καὶ εἴ τις ἐπιπολῆς βαδίζοι, καὶ προσχωροῖ τὸ οὖς παραβαλὼν, ἀκούσεται ἐπὶ μήκιστον τῶν προειρημένων· οὐδὲ ἐκλείπει ποτὲ ὁ συμμιγὴς ἦχος, ἐπιπεμπόντων ὁσημέραι τὰ ὑπὲρ ἑαυτῶν ζῶα. Εἰ μὲν οὖν τὰ πρόσφατα ἐξακούεται μόνα, ἢ καὶ τῶν πρώτων τινὰ, οὐκ οἶδα· ἀκούεται δ᾽ οὖν. Καὶ εἴρηταί μοι ζώων τῶν ἐκεῖ καὶ τοῦτο ἴδιον.

CAP. XVII.

De Testudinibus maris magni.

In nuncupato mari magno insulam esse maximam, nomine Taprobanam, pervagatum est, eandemque longissimam atque excelsam; longitudine septem millium stadiorum, latitudine vero quinque millium; urbes autem non habere, sed quinquaginta et septingentos vicos; domos, in quibus incolae degunt, e ligno factas esse, aut arundinibus. Maximae testudines in eo mari procreantur, quarum superficies integrum tectum praestare potest; nam singulae testae ad quindecim cubitorum magnitudinem procedunt, ut sub eis non pauci habitare queant; ac nimirum vehementissimos solis ardores defendant, et prolixam umbram efficiant; sicque ad perferendos imbres resistunt, ut melius quam ullae tegulae pluviarum vim repellant; nec aliter illisa eis aqua coelestis perstrepit, quam si in tegulas illaberetur. Neque vero sic eas habitatores, quemadmodum tegulas fractas, sarcire habent necesse; nam totum tectum ex solida testa constat, ut suffosso saxo et cavernoso, et nativum tectum efficienti, similis esse videatur.

CAP. XVIII.

De Elephantis Indicis, et Cetis ferarum speciem habentibus, et Balaenis, atque Delphinis.

In magni maris insula Taprobane palmeta in ordinem sic mirifice plantantur, quemadmodum in elaboratis hortis a peritis artificibus opacantes arbores feruntur. Itemque permultorum et valde grandium elephantorum pastiones in ea insula vigent. Ac nimirum hi insulani elephanti animi robore, et ingenii indole, et corporis magnitudine, eis, qui in continenti degunt, praestantiores omnino existimantur. Hos magnis navibus (nam et sylvas insula

ΚΕΦ. ιζ΄.

Περὶ τῶν Χελωνῶν τῶν ἐν τῇ μεγάλῃ θαλάσσῃ.

ΕΝ δὲ τῇ καλουμένῃ μεγάλῃ θαλάττῃ ϗ νῆσον ᾄδουσι μεγίστην, ϗ ὄνομα αὐτῆς ἀκούω Ταπροβάνην· πάνυ δὲ δολιχὴν πυνθάνομαι, ϗ ὑψηλὴν τὴν νῆσον εἶναι· ϗ μῆκος μὲν ἔχειν σταδίων ζ΄, πλάτος δὲ ε΄· ϗ ἔχειν οὐ πόλεις, ἀλλὰ κώμας πεντήκοντα ϗ ἑπτακοσίας· στέγας δὲ ἔχουσιν, ὅθεν κατάγονται οἱ ἐπιχώριοι, ἐκ ξύλων πεποιημένας, ἤδη δὲ ϗ δονάκων. Τίκτονται δὲ ἄρα ἐν ταύτῃ τῇ θαλάττῃ ϗ χελῶναι μέγισται, ὧνπερ οὖν τὰ ἔλυτρα ὄροφοι γίνονται· ϗ γάρ ἐστι ϗ πεντεκαίδεκα πηχῶν ἓν χελώνειον, ὡς ὑποικεῖν οὐκ ὀλίγους· ϗ τοὺς ἡλίους πυρωδεστάτους ἀποστέγει, ϗ σκιὰν ἀσμένοις παρέχει· πρός γε μὴν τῶν ὄμβρων τὰς καταφορὰς ἀντίτυπόν ἐστι, ϗ κεράμου παντὸς κρατερώτερον, τάς τε ἐμβολὰς τῶν ὑετῶν ἀποσείεται· ϗ κροτούμενον ἀκούουσιν οἱ ὑποικοῦντες, ὡς εἴς τι στέγος ἐμπιπτόντων τῶν ὑδάτων. Οὐ δέονταί γε μὴν, ὡς κέραμον ῥαγέντα, ἀμεῖψαι· σκληρὸν γὰρ τὸ χελώνειον, ϗ ἔοικεν ὑπορωρυγμένῃ πέτρᾳ, ϗ ὑπάντρῳ τε ϗ αὐτορόφῳ στέγῃ.

ΚΕΦ. ιη΄.

Περὶ τῶν ἐν Ἰνδοῖς ἐλεφάντων, ϗ Κητῶν θηριομόρφων, Φαλαινῶν τε, ϗ Δελφίνων.

Η Τοίνυν νῆσος ἡ ἐν τῇ μεγάλῃ θαλάττῃ, ἣν καλοῦσι Ταπροβάνην, ἔχει φοινικῶνας μὲν θαυμαστῶς πεφυτευμένους εἰς στοῖχον, ὥσπερ οὖν ἐν τοῖς ἁβροῖς τῶν παραδείσων οἱ τούτων μελεδωνοὶ φυτεύουσι τὰ δένδρα τὰ σκιαδηφόρα. Ἔχει δὲ ϗ νομὰς ἐλεφάντων πολλῶν, ϗ μεγίστων. Καὶ οἵδε γε νησιῶται ἐλέφαντες τῶν ἠπειρωτῶν ἀλκιμώτεροί τε τὴν ῥώμην, ϗ μείζους ἰδεῖν εἰσι, ϗ θυμοσοφώτεροι δὲ πάντα πάντῃ κρίνοιντο ἄν. Κομίζουσί τε οὖν αὐτοὺς εἰς τὴν ἀντιπέραν ἤπειρον ναῦς μεγάλας τεκτη-

insula habet) in continentem transportantes Calingarum regi vendunt. Insulae quidem magnitudo ea est, ut mediterranei ejus incolae mare incognitum habeant; et tanquam in continenti viventes mare, quod eos circumcingit atque ambit, solum auditione accipiant. Maritimi autem elephantorum venationis ignari sint, nisi fama eandem cognorint; omne igitur studium atque operam ad piscium et cetorum capturam conferunt. Id mare magnum eam insulam ambiens, immensam multitudinem piscium et cetorum procreare ferunt: et eorum quaedam habere capita leonum, pantherarum, et arietum, aliorumque animalium; et, quod magnam admirationem habet, satyrorum speciem similitudinemque cete nonnulla gerunt. Alia exsistunt muliebri facie, eisque pro crinibus spinae dependent. Addunt et alia reperiri absurda, quorum genera tam monstrosa exacte explicari ne a peritissimis quidem pictoribus possent; caudae eis oblongae et involutae, pro pedibus forfices aut pinnae. Ac in eodem mari belluas in utraque sede viventes audio, et noctu segetes et herbas depasci, instar gregalium et seminibus victitantium animalium; quodque palmarum fructu jam maturo gaudeant, idcirco eas arbores amplexu suo molli flexilique concutere, et excussas violento impetu palmulas comedere; easdemque crepusculo matutino, cum jam incipit dilucescere, in mare redire abdique mersas. Tum etiam multas balaenas ibidem esse aiunt, quae thynnis insidientur, nec exeant in terram. Tum duo delphinorum genera illic nasci: alterum ferum, dentibus serratis et inexpiabili immanitate, piscatoribus infestum; alterum natura mansuetum, circum homines natare, et more catelli blandiri, et se contrectari sustinere, atque objectum cibum libenter sumere.

CAP.

τεκτηνάμενοι (ἔχει γὰρ δήπου καὶ δάση ἡ νῆσος) πιπράσκουσί τε διαπλεύσαντες τῷ βασιλεῖ τῷ ἐν Κωλίγγαις. Διὰ μέγεθος δὲ ἄρα τῆς νήσου οὐδὲ ἴσασιν οἱ τὰ μέσα αὐτῆς οἰκοῦντες τὴν θάλατταν, ἀλλὰ ἠπειρώτην μὲν βίον τρίβουσι· τὴν περιεχομένην δὲ αὐτοὺς καὶ κυκλουμένην πυνθάνονται θάλατταν. Οἱ δὲ τῇ θαλάττῃ πρόσοικοι τῆς μὲν ἄγρας τῆς τῶν ἐλεφάντων ἀμαθῶς ἔχουσιν, ἀκοῇ δὲ αὐτὴν ἴσασι μόνῃ· περί γε μὴν τὰς τῶν ἰχθύων, καὶ τὰς τῶν κητῶν ἄγρας, τίθενται τὴν σπουδήν. Τὴν γάρ τοι θάλατταν, τὴν περιεχομένην τὸν τῆς νήσου κύκλον, ἄμαχόν τι πλῆθος καὶ ἰχθύων καὶ κητῶν ἐκτρέφειν φασί· καὶ ταῦτα μέντοι καὶ λεόντων ἔχειν κεφαλὰς, καὶ παρδάλεων, καὶ ἄλλων, καὶ κριῶν δὲ, καὶ τὸ ἔτι θαῦμα, σατύρων μορφὰς κήτη ἐστὶν, ἃ περιφέρει. Καὶ γυναικῶν ὄψιν ἔχουσιν, αἷσπερ ἀντὶ πλοκάμων ἄκανθαι προσήρτηνται. Ἔχειν δὲ καὶ ἄλλας τινὰς ὑμνοῦσιν ἐκτόπους μορφὰς, ὧν τὰ εἴδη μήδ᾽ ἂν τοὺς ἐνταῦθα δεινοὺς γράφειν, καὶ κράσει σωμάτων συμπλέκειν ἐς τερατείαν ὄψεων, ἀκριβῶσαι πολὲ καὶ σοφίᾳ γραφικῇ παραστῆσαι δύνασθαι ἄν· προμήκη δ᾽ ἔχει τὰ οὐραῖα καὶ ἑλικτὰ, πόδας γε μὴν χηλὰς ἢ πτερύγια. Πυνθάνομαι δὲ αὐτὰ καὶ ἀμφίβια εἶναι, καὶ νύκτωρ μὲν ἐπινέμεσθαι τὰς ἀρούρας· πόαν μὲν γὰρ οὖν ἐσθίειν τῶν ἀγελαίων τε καὶ σπερμολόγων δίκην, χαίρειν δὲ καὶ τῷ φοίνικι τῷ δρυπετεῖ, διασείειν τε ἐκ τούτου τὰ δένδρα ταῖς σπείραις περιβάλλοντα αὐτὰ ὑγραῖς οὔσαις, καὶ οἵαις περιπλέκεσθαι· τοῦτον οὖν τὸν φοίνικα ἐκ τοῦ σεισμοῦ τοῦ βιαίου καταῤῥέοντα ἐπινέμεσθαι· ὑπολήγει δὲ ἄρα ἡ νὺξ καὶ σαφὴς οὔπω ἡ ἡμέρα, καὶ ἐκεῖνα ἠφανίσθη καταδύντα εἰς τὸ πέλαγος, ἑῷου μέλλοντος ὑπολάμπειν αὐτό. Εἶναι δὲ καὶ φαλαίνας φασὶ πολλὰς, οὐ μὴν εἰς τὴν γῆν προϊέναι αὐτὰς, τοὺς θύννους ἐλλοχώσας. Καὶ δελφίνων δὲ γένη δύο φασὶν εἶναι· τῶν μὲν ἀγρίων, καὶ καρχάρων, καὶ ἀφειδεστάτων εἰς τοὺς ἁλιέας, καὶ σφόδρα ἀνοίκτων· τῶν δὲ πρᾴων τε καὶ τιθασσῶν φύσει περισκιρτᾷ γοῦν καὶ περινήχεται, καὶ ἔοικε κυνιδίῳ αἰκάλλοντι· καὶ ψηλαφήσεις, ὁ δὲ ὑπομένει· καὶ τροφὴν ἐμβαλεῖς, καὶ ἀσμένως λήψεται.

CAP. XIX.

De Lepore marino.

MAGNI maris lepus (nam alterum, qui in alio mari nafcitur, ante dixi) ex omni parte ad terreni fimilitudinem accedit praeter pilos. Nam terreftris pili et molles funt, et ad tactum haudquaquam refiftentes; contra, illius fpinofi et erecti, et qui contigerit, laeditur. Hunc in fumma aqua maris natare, non in profundum demergi dicunt; celeri autem et concitata natatione uti; et vivum eo difficillimum ad capiendum effe, quod neque in rete incidit, neque ad lineae efcam accedit. Cum aegritudine afficitur, ita ut natare nequeat, et in litus ejiciatur; quifquis manu eum tetigerit, nifi medicina adhibetur, perit: ac fi hunc bacillo tetigerit, hoc idem periculum ei procreatur, quod bafilifci contactus affert. Radicem ad idem mare in infula quadam nafci ferunt, haudquaquam in vulgus ignotam, quae animi defectionibus illius, qui fic adfectus fuerit, medetur; ea enim animo deficientis naribus admota, facit ut is revivifcat, et recreetur. Sin negligitur, tam fane robufta pernicie hic lepus praeditus eft, ut ad mortem ufque homini morbus procedat.

CAP. XX.

De Feris montium Indiae interiorum, et de Cartazono.

MONTES effe dicunt in intimis regionibus Indiae, inacceffos hominibus, et feris refertos; ubi, quae apud nos beftiae domefticae funt, feras aiunt effe, ut oves, canes, capras, boves, et per fe, et fua fponte errare, ab omni cura paftoritia exfolutas. Earum

ΚΕΦ. ιθ'.

Περὶ Λαγωοῦ θαλασσίου.

ΛΑγὼς θαλάττιος τῆς μέντοι μεγάλης (τὸν γὰρ ἕτερον εἶπον τὸν ἐκ τῆς ἑτέρας) ἀλλ' οὗτός γε ἔοικε τῷ χερσαίῳ πάντα πάντη, πλὴν τῶν τριχῶν. Τοῦ μὲν γὰρ ἠπειρώτου ἡ λάχνη ἔοικεν ἁπαλή τε εἶναι, καὶ ἐπαφωμένη μὴ ἀντίτυπος· ἔχει δὲ οὗτος ἀκανθώδεις τὰς τρίχας καὶ ὀρθὰς, καὶ εἴ τις προσάψεται, ἀμύσσεται. Φασὶ δὲ αὐτὸν ἐπ' ἄκρᾳ τῇ φρίκῃ τῆς θαλάσσης νήχεσθαι, καὶ μὴ καταδύνειν εἰς βάθος· ὤκιστον δὲ εἶναι τὴν νῆξιν· ζῶν δ' οὐκ ἂν ἁλῴη ῥᾳδίως, τὸ δὲ αἴτιον, οὐκ ἐμπίπτει ποτὲ εἰς δίκτυον, οὐ μὴν οὐδὲ καλάμου πρόσεισιν ὁρμιᾷ καὶ δελέατι. Ὅταν δ' ἄρα νοσήσας ὅδε ὁ λαγὼς, εἶτα ἥκιστος ὢν νήχεσθαι ἐκβρασθῇ· πᾶς ὅστις ἂν αὐτοῦ προσάψηται τῇ χειρὶ, ἀπόλλυται ἀμεληθείς· ἀλλὰ καὶ τῇ βακτηρίᾳ ἐὰν θίγῃ τοῦ λαγὼ τοῦδε, καὶ δι' αὐτῆς πάσχει τὸ αὐτὸ, ὥσπερ οὖν καὶ οἱ τοῦ βασιλίσκου προσαψάμενοι. Ῥίζαν δὲ ἐν τῇ νήσῳ τῇ κατὰ τὴν μεγάλην θάλατταν φύεσθαί φασι, καὶ εἶναι πᾶσιν εὔγνωστον, ἥπερ οὖν τῇ λειποθυμίᾳ ἀντίπαλός ἐστι· προσενεχθεῖσα γοῦν τῇ τοῦ λειποψυχοῦντος ῥινὶ, ἀναβιώσκεται τὸν ἄνθρωπον. Ἐὰν δὲ ἀμεληθῇ, καὶ μέχρι θανάτου πρόεισι τῷ ἀνθρώπῳ τὸ πάθος· τοσαύτην ἄρα ἐς τὸ κακὸν ὅδε ὁ λαγὼς ἔχει τὴν ἰσχύν.

ΚΕΦ. κ'.

Περὶ τῶν ἐνδοτέρω τῶν ὀρῶν τῆς Ἰνδικῆς ζώων, καὶ περὶ τοῦ λεγομένου Καρταζώνου.

ΕΝ τοῖς χωρίοις τοῖς ἐν Ἰνδίᾳ, λέγω δὴ τοῖς ἐνδοτάτω, ὄρη φασὶν εἶναι δύσβατά τε, καὶ ἔνθηρα· καὶ ἔχειν ζῶα, ὅσα καὶ ἡ καθ' ἡμᾶς τρέφει γῆ, ἄγρια δέ· καὶ γάρ τοι καὶ τὰς ὄϊς τὰς ἐκεῖ φασιν εἶναι καὶ ταῦτα θηρία, καὶ κύνας, καὶ αἶγας, καὶ βοῦς, αὐτόνομά τε ἀλᾶσθαι καὶ ἐλεύθερα, ἀφειμένα νομευτικῆς ἀρχῆς.

Earum quidem ferarum multitudinem innumeram, et hiſtorici, et Indorum ſapientes teſtantur; inter quos Brachmanes etiam numerandi, qui hoc idem ſentiunt. In iis unicornem, quem vocant cartazonon, numerant; eumque magnitudine ad confirmatae aetatis equum accedere dicunt, jubaque praeditum, et pilis fulvis eſſe, pedum bonitate, et totius corporis celeritate excellere, atque ſimiliter ut elephantos pedibus inarticulatis eſſe, apri caudam habere; inter ſupercilia cornu unum, idemque nigrum exſiſtere, non laeve quidem, ſed verſuras quaſdam naturales habens, atque in acutiſſimum mucronem deſinens, omnium maxime animalium abſonam vocem et contentam mittere, et ad alias quidem beſtias ad ſe accedentes manſueſcere, cum ſuis vero gregalibus pugnare. Neque modo mares inter ſe naturali quadam contentione diſſidere, ſed contra etiam feminas certare, pugnamque uſque ad mortem victi ingraveſcere; nam et reliqui corporis maximo robore praeditus eſt, et cornu imprimis inexpugnabili armatur. Deſertiſſimas regiones perſequitur, ſimul et ſolitarius errat. Coitus tempore ad feminam ſuam manſuete adſueſcit, et pariter paſcuntur; cum hoc tempus tranſierit, et ventrem femina ferre coeperit, rurſus efferatur, et ſolus vagatur. Ad Praſiorum regem illius pullos etiamnum teneros aiunt deportari, eoſdemque feſtis et panegyricis diebus ad pugnam committi ad robur oſtendendum; nam integrae aetatis et perfectae nullum unquam quiſquam meminit captum fuiſſe.

CAP.

Πλήθη δὲ αὐτῶν καὶ ἀριθμοῦ πλείω φασὶν οἱ τούτων συγγραφεῖς, καὶ οἱ τῶν Ἰνδῶν λόγιοι· ἐν δὴ τοῖς καὶ τοὺς Βραχμᾶνας ἀριθμεῖν ἄξιον, καὶ γάρ τοι καὶ ἐκεῖνοι ὑπὲρ τῶνδε ὁμολογοῦσι τὰ αὐτά. Λέγεται δὲ καὶ ζῶον ἐν τούτοις εἶναι μονόκερων, καὶ ἀπ' αὐτῶν ὀνομάζεσθαι καρτάζωνον· καὶ μέγεθος μὲν ἔχειν ἵππου τοῦ τελείου, καὶ λόφον, καὶ λάχνην ἔχειν ξανθὴν, ποδῶν δὲ ἄριστα εἰληχέναι, καὶ εἶναι ὤκιστον, καὶ τοὺς μὲν πόδας ἀδιαρθρώτους τε καὶ ἐμφερεῖς ἐλέφαντι συμπεφυκέναι, τὴν δὲ οὐρὰν συός· μέσον δὲ τῶν ὀφρύων ἔχειν ἐκπεφυκὸς κέρας, οὐ λεῖον, ἀλλὰ ἑλιγμοὺς ἔχον τινὰς καὶ μάλα αὐτοφυεῖς, καὶ εἶναι μέλαν τὴν χρόαν, λέγεται δὲ καὶ ὀξύτατον εἶναι τὸ κέρας ἐκεῖνο· φωνὴν δὲ ἔχειν ἀκούω τὸ θηρίον τοῦτο πάντων ἀπηχεστάτην τε καὶ γεγωνοτάτην, καὶ τῶν μὲν ἄλλων αὐτῷ ζώων προσιόντων, φέρειν καὶ πρᾶον εἶναι, λέγουσι δὲ ἄρα πρὸς τὸ ὁμόφυλον δύσεριν εἶναί πως. Καὶ οὐ μόνον φασὶ τοῖς ἄῤῥεσιν εἶναί τινα συμφυῆ κύριξίν τε πρὸς ἀλλήλους καὶ μάχην, ἀλλὰ καὶ πρὸς τὰς θηλείας ἔχουσι θυμὸν τὸν αὐτὸν, καὶ προάγειν τε τὴν φιλονεικίαν καὶ μέχρι θανάτου ἡττηθέντα ἐξάγουσαν· ἔστι μὲν οὖν καὶ διὰ παντὸς τοῦ σώματος ῥωμαλέον, ἀλκὴ δέ οἱ τοῦ κέρατος ἄμαχός ἐστι. Νομὰς δὲ ἐρήμους ἀσπάζεται, καὶ πλανᾶται μόνον. Ὥρᾳ δὲ ἀφροδίτης τῆς σφετέρας συνδυασθεὶς πρὸς τὴν θήλειαν πεπράϋνται, καὶ μέντοι καὶ συννόμω ἐστόν· εἶτα ταύτης παραδραμούσης, καὶ τῆς θηλείας κυούσης, ἐκθηριοῦται αὖθις, καὶ μονίας ἐστὶν ὅδε ὁ Ἰνδὸς καρτάζωνος. Τούτων οὖν πάνυ νεαροὺς πώλους κομίζεσθαί φασι τῷ τῶν Πραισίων βασιλεῖ, καὶ τὴν ἀλκὴν ἀλλήλοις ἀποδείκνυσθαι κατὰ τὰς θέας τὰς πανηγυρικάς· τέλειον δὲ ἁλῶναί ποτε οὐδεὶς μέμνηται.

CAP. XXI.

De Indicis animalibus Satyrorum similitudine.

FINITIMOS Indiae montes transmittenti, ad intimum latus densissimas convalles videri aiunt, et Corudam locum nominari; ubi bestiae Satyrorum similitudinem formamque gerentes, et toto corpore hirsutae versantur, atque equina cauda praeditae dicuntur. Eae cum non a venatoribus agitantur, in opacis et spissis sylvis solent ex frondibus et fructibus vivere; cum autem venantium strepitum sentiunt, et canum latratus exaudiunt, in montium vertices incredibili celeritate recurrunt: nam per montes iter conficere assuetae sunt. Contra eos qui se insequuntur pugnant, de summis montibus saxa devolventes, quorum impetu saepe multi deprehensi pereunt. Itaque difficillime capiuntur; et ex iis nonnullae, sed aegerrime tandem, aut aegrotantes nimirum, aut gravidae comprehenduntur; illae quidem propter morbum, hae vero ob graviditatem. Captae autem ad Prasios deferuntur.

CAP. XXII.

De Sciratis gente ultra Indiam, et maximis apud eos Serpentibus.

SVNT et Sciratae gens ultra Indiam, simi naribus, sive ita nati, sive a teneris assueti in mari degere [et urinando offendere nasum ad saxa.] Apud hos serpentes maximi nascuntur; quorum alii greges pecorum rapiunt, et vorant; alii sanguinem tantum exsugunt, quemadmodum [lac] aves caprimulgi a Graecis dictae, quarum suo loco mentio a nobis facta est.

ΚΕΦ. κά.

Περὶ τῶν Ἰνδικῶν ζώων τῶν τοῖς Σατύροις προσεοικότων.

Ὑπερελθόντι τὰ ὄρη τὰ γειτνιῶντα τοῖς Ἰνδοῖς κατὰ τὴν ἐνδοτάτην πλευρὰν φανῆναί φασιν αὐλῶνες δασύτατοι, καὶ καλεῖταί γε ὑπ' Ἰνδῶν ὁ χῶρος Κόρουδα· ἀλῶνται δὲ ἄρα φασὶν ἐν τοῖσδε τοῖς αὐλῶσι ζῶα Σατύροις ἐμφερῆ τὰς μορφὰς, τὸ πᾶν σῶμα λάσια, καὶ ἔχει κατὰ τῆς ἰξύος ἵππουριν. Καὶ καθ' ἑαυτὰ μὲν μὴ ἐνοχλούμενα διατρίβειν ἐν τοῖς δρυμοῖς ὑλοτραγοῦντα· ὅταν δὲ αἴσθωνται κυνηγετῶν κτύπου, καὶ ἀκούσωσι κυνῶν ὑλακῆς, ἀναθέουσιν εἰς τὰς ἀκρωρείας αὐτὰς ἀμηχάνῳ τῷ τάχει· καὶ γάρ εἰσι ταῖς ὀρειβασίαις ἐντριβεῖς. Καὶ ἀπομάχονται πέτρας τινὰς κυλινδοῦντες κατὰ τῶν ἐπιόντων, καὶ καταλαμβανόμενοί γε πολλοὶ διαφθείρονται. Καὶ ἐκ τούτων εἰσὶν ἐκεῖνοι δυσάλωτοι· καὶ μόλις ποτὲ, καὶ διὰ μακροῦ, τινὰς αὐτοὺς εἰς Πραισίους κομίζεσθαι λέγουσι· καὶ τούτων μέντοι ἢ τὰ νοσοῦντα ἐκομίσθη, ἢ θήλεά τινα καὶ κύοντα· καὶ συνέβη γε θηραθῆναι τοῖς μὲν διὰ τὴν νωθείαν, ταῖς δὲ διὰ τὸν τῆς γαστρὸς ὄγκον.

ΚΕΦ. κβ'.

Περὶ Σκιράτων πέρα τῆς Ἰνδικῆς, καὶ τῶν παρ' αὐτοῖς Ὄφεων μεγίστων.

Ἔστι δὲ καὶ Σκιρᾶται πέραν Ἰνδῶν ἔθνος καὶ τοῦτο, καὶ εἰσὶ μὲν σιμοὶ τὰς ῥῖνας, εἴτε οὕτως ἐκ βρεφῶν ἁπαλῶν ἐνθλάσει τῇ τῆς ῥινὸς διαμείναντες, εἴτε καὶ τοῦτον τὸν τρόπον τίκτονται. Γίνονται δὲ ὄφεις παρ' αὐτὰ μεγέθει μέγιστοι, ὧν οἱ μὲν ἁρπάζουσι τὰς ποίμνας, καὶ σιτοῦνται· οἱ δὲ ἐκθηλάζουσι τὸ αἷμα, ὥσπερ οὖν παρὰ τοῖς Ἕλλησι οἱ αἰγοθῆλαι, ὧνπερ οὖν καὶ ἀνωτέρω οἶδα ποιησάμενος μνήμην εὐκαιροτάτην.

ΚΕΦ.

CAP. XXIII.

De docilitate Equorum, qui apud Sybaritas ad tibiam ſaltare edocti ſunt.

DOCILITATEM equo peculiarem eſſe iſtud etiam argumento eſt. Sybaritas in Italia luxuriae nimium addictos fuiſſe, et reliquarum rerum ſtudium negligentes ignoraſſe, et vitam in otio et ſumptuoſo luxu tranſegiſſe audio. Sed referre ſingula prolixum foret, iſtud vero unum ſupremum eorum luxum teſtatur. Equi eis inſtituti erant, ut inter epulas ad tibiarum numeros ſaltarent. Quod cum ſcirent Crotoniatae, et bellum adverſus eos gererent, tubam et omnem vehementiorem et adhortatorium ad arma ſonum ſilere juſſerunt: tibiam vero et tibicines ſecum in acie adductos, cum jam intra ſagittae ictum ab hoſte abeſſent, numeros ſaltationi aptos canere praeceperunt; quibus auditis, Sybaritarum equi, ſaltationis domeſticae memoria, tanquam in mediis verſarentur conviviis, excuſſis ſeſſoribus, ſaltare et tripudiare coeperunt, et confuſo Sybaritarum ordine, ſtragis et cladis cauſa ſuis fuerunt dominis.

CAP. XXIV.

De Lycoſpadibus equis.

DE equis illis, quos lycoſpades nominant, ſupra etiam dixi; et nunc, quae inſuper audivi, addam. Roſtrum habent, breve, bene compactum, et ſimum. Quin et Graecorum hominum cum ſtudioſi eſſe dicuntur, tum de hujuſcemodi hominum genere mirificam notionem habere, ut naturali quodam ſenſu ad eos amandos afficiantur; neque enim accedentibus, et palpantibus, aut cava manu applaudentibus ſe offenduntur, neque reſiliunt; ſed, tanquam conſtricti tenerentur, totum diem cum iis traducunt, atque

ΚΕΦ. κγ´.

Περὶ τῆς τῶν Ἵππων εὐμαθείας, τῶν παρὰ Συβαρίταις πρὸς αὐλὸν ὀρχεῖσθαι δεδιδαγμένων.

Ἵππου δὲ ἄρα καὶ τὸ εὐμαθὲς ἴδιον ἦν, καὶ τούτου μαρτύριον ἐκεῖνο. Συβαρίτας τοὺς ἐν Ἰταλίᾳ τρυφῆς ἀκούω ποιήσασθαι φροντίδα ὑπερβάλλουσαν, καὶ τῶν μὲν ἄλλων ἔργων τε καὶ σπουδασμάτων ἀμαθῶς ἔχειν, ταῦτα δὲ τὸν ἑαυτῶν βίον διάγειν ῥᾳστωνεύοντας ἐν ἀργίᾳ καὶ πολυτελείᾳ. Περιηγεῖσθαι μὲν οὖν ἕκαστα τῶν ἐν Συβάρει μακρὸν ἂν εἴη νῦν, ἐκεῖνο δ᾽ οὖν ὁμολογεῖ τρυφὴν ἄμαχον. Δεδιδαγμένοι ἦσαν αὐτοῖς ἵπποι παρὰ τὸν τῆς εὐωχίας καιρὸν ὀρχεῖσθαι πρὸς αὐλὸν τῷ ῥυθμῷ. Τοῦτο οὖν εἰδότες οἱ Κροτωνιάται ἐπολέμουν αὐτοῖς, σάλπιγγα μὲν καὶ ἦχον σύντονον, καὶ παρακλητικὸν εἰς ὅπλα καλεσίγασαν· αὐλοὺς δὲ καὶ αὐλητὰς παραλαβόντες, ἐπεὶ ὁμοῦ ἦσαν, καὶ τόξευμα ἐξικνεῖτο ἤδη, ἐνέδοσαν ἐκεῖνοι τὸ μέλος τὸ ὀρχηστικόν· ὅπερ οὖν ἀκούσαντες οἱ τῶν Συβαριτῶν ἵπποι, κατὰ τὴν οἴκοι μνήμην, ὡς ἐν μέσοις ὄντες τοῖς συμποσίοις (ἀπεσείσαντο μὲν τοὺς ἀναβάτας, ἐσκίρτων δὲ καὶ ἐχόρευον, καὶ τῇ γε ἄλλῃ τὴν τάξιν συνέχεαν, καὶ τὸν πόλεμον ἐξωρχήσαντο.

ΚΕΦ. κδ´.

Περὶ τῶν ἵππων τῶν καλουμένων Λυκοσπάδων.

Ὑπὲρ τῶν ἵππων τῶν καλουμένων λυκοσπάδων εἶπον καὶ ἀνωτέρω, καὶ νῦν εἰρήσεται, ὅσα προσακήκοα ἴδια. Τὴν ὄψιν ἔχουσι συνεστραμμένην καὶ βραχεῖαν, ἔτι δὲ σιμήν. Λέγουσι δὲ αὐτὰς εἶναι καὶ φιλέλληνας, καὶ ἔχειν τοῦ γένους τοῦδε σύνεσίν τινα ἀπόῤῥητον, καὶ συμφυῆ πρὸς αὐτοὺς ἀποσώζειν φιλίαν· καὶ προσιόντων τε, καὶ ἐπαφωμένων, καὶ κοίλῃ τῇ χειρί πως ἐπικροτούντων μὴ ἄχθεσθαι, μηδὲ ἀποσκιρτᾶν· καὶ συνδιημερεύειν μὲν αὐτοὺς, ὥσπερ οὖν δεδεμένους, καθευδόντων δὲ, καθεύ-

que somnum prope eosdem capiunt. Sin ad ipsos barbarus accedit, quemadmodum ex vestigiis sagaciter odorantes canes feras percipiunt, sic eum equi illi cognoscunt, et clamorem tollunt, et, tanquam sane feram bestiam extimescentes, dant se in fugam. Iam porro iis, ad quos adsueverunt, et pabulum objicientibus mirifice oblectantur, maxime vero aurigis formosi videri student: quod quidem ipsum, cum natant, ostendunt; tum enim in aquam lacus, maris, aut fontis bene penitus procedunt, ut et nitidum os efficiant, et ne sordidum quippiam ex praesepi, aut de via, illitum deformet nitorem. Quin et odorati unguenti suavitatem, sicut puella, in amore et deliciis habere existimantur hoc genus; quanquam Homerus equos omnes natura unguentis delectari testatur, cum canit:

Auriga egregio privati, saepius illis
Qui solitus liquido fuerat perfundere olivo
Cervicem atque jubas ablutis flumine puro.

Quin et Simonides, canens ex diversis bestiis natas et conformatas esse mulieres, nonnullis earum ornatus et unguentorum studium ex equorum natura innatum esse scribit his versibus:

At delicatus mulier quam genuit equus,
Labore abhorret et operibus servilibus;
Nec attigisse vellet aut cribrum, aut molam,
Non expurgare et verrere scopis domum,
Non juxta furnum, ne trahat fuliginis
Quidquam, sedere; sponte non sua virum,
Coacta sed amat; corpus in die suum
Bis terve lavat, et ungitur, pectit comas,
Alitque, et ornat se superba floribus.

Talis

δειν πλησίον. Ἐὰν δὲ προσέλθῃ βάρβαρος, ὥσπερ οὖν αἱ ῥινηλατοῦσαι κύνες ἐκ τῶν ἰχνῶν συνιᾶσι τὰ θηρία ἐκεῖνα, οὕτω τοι ϗ αἱ ἵπποι γινώσκουσι τὸ γένος, ϗ χρεμετίζουσι, ϗ φεύγουσιν οἷα δήπου δεδοικυῖαι θηρίον. Τοῖς μὲν οὖν συνήθεσι, ϗ χιλὸν ἐμβάλλουσι, ϗ τὴν ἄλλην κομιδὴν προσφέρουσι πάνυ ἥδονται, ϗ βούλονται ὡραῖαι φαίνεσθαι, ϗ ἔτι ϗ μᾶλλον τοῖς ἑαυτῶν ἡνιόχοις· ϗ τὸ μαρτύριον, ὅταν νήχωνται, ἐνδοτέρω προχωροῦσιν ἢ τῆς λίμνης, ἢ τῆς θαλάττης, ἢ τῆς κρήνης, ϗ τὸ πρόσωπον φαιδρύνειν βουλόμεναι, ἵνα μή τι ἄμορφον ἢ ἀκαλλὲς ἐκ τῆς φάτνης, ἢ ἐκ τῆς ὁδοῦ προσπεσὸν, εἶτα ἐπιθολώσῃ τὸ κάλλος. Λυκοσπάδι δὲ ἄρα ἵππῳ καὶ ἀλοιφαὶ εὐώδεις, ὡς νύμφῃ, φίλαι, ϗ μύρων ὀσμή· ϗ Ὅμηρος δὲ τὸ φιληδεῖν ἵππους χρίσμασι φύσει πάντας ὁμολογεῖ λέγων·

Τοίου γὰρ σθένος ἐσθλὸν ἀπώλεσαν ἡνιόχοιο
Ἠπίου· ὅς σφῶϊ μάλα πολλάκις ὑγρὸν ἔλαιον
Χαιτάων κατέχευε, λοέσσας ὕδατι λευκῷ.

Καὶ ὁ Σιμωνίδης δὲ, ἐκ παντοδαπῶν θηρίων λέγων τὰς γυναῖκας γενέσθαι τε ϗ διαπλασθῆναι, φησὶν ἐνίαις ἐκ τῶν ἵππων τό,τε φιλόκοσμον ϗ φιλόμυρον συντεχθῆναι κατ᾽ ἐκείνους φύσει· ἃ δὲ λέγει, ταῦτά ἐστι·

Τήν δ᾽ ἵππος ἁβρὴ χαιτήεσσ᾽ ἐγείνατο,
Ἣ δοῦλ᾽ ἔργα ϗ ἄτην περιτρέπει·
Κοὔτ᾽ ἂν μύλης ψαύσειεν, οὔτε κόσκινον
Ἄρειεν, οὔτε κόπρον ἐξ οἴκου βάλοι,
Οὔτε πρὸς ἰπνὸν ἀσβόλην ἀλευμένη
Ἵζοιτ᾽· ἀνάγκῃ δ᾽ ἄνδρα ποιεῖται φίλον·
Λοῦται δὲ πάσης ἡμέρας ἀπὸ ῥύπον
Δὶς, ἄλλοτε τρὶς, ϗ μύροις ἀλείφεται.
Ἀεὶ δὲ χαίτην ἐκτενισμένην φορεῖ
Βαθεῖαν, ἀνθέμοισιν ἐσκιασμένην.

Talis quidem uxor praebet ſe ſpectaculum
Aliis jucundum, ſed viro nocet ſuo;
Niſi ille fuerit aut rex, aut vir praepotens,
Hujuſmodi uxor oblectare quem queat.

C A P. XXV.

Quemadmodum Perſae Equos, quibus in bello utuntur, audaces efficiunt.

HAEC etiam equorum propria ſunt. Eos ad aeris ſonitum et ſtrepitum adſuefaciunt Perſae, ne armorum in bello fremitum, et gladiorum ad clypeos reſonantium crepitum extimeſcant; armataque cadaverum ſimulachra paleis farta eis ſubjiciunt, ut caeſorum calcationem in bello ferre conſueſcant, et ne rerum terribilium metu affecti ad rem militarem, cum neceſſitas poſtulat, inutiles ſint. Non latuit vero Homerum neque hoc, ut ipſe oſtendit. Quod igitur occiſus ſit Rheſus Thrax, et cum eo ſocii, audivimus in Iliade a pueris; quae vero audivimus, haec ſunt: Diomedes quidem Thraces jugulat; Vlyſſes vero interfectos pedibus ſubtrahit, ne in cadavera incurrentes Thraces equi, qui nuper advenerant, formidine perterrerentur, atque ad haec ipſa inſueti, ut per formidoloſa quaedam ingredientes, praecipiti effrenatione efferrentur. Equi autem artem, quam didicerunt, nunquam oblivioni dant; adeo ad diſcendum dociles ſunt res utiles quaſvis. Iidem quomodo, et quantopere homines ament, in praecedentibus explicavi.

C A P.

Καλὸν μὲν ἦν θέημα τοιαύτη γυνὴ
Ἄλλοισι, τῷ δ᾽ ἔχοντι γίνεται κακόν·
Ἢν μή τις ἢ τύραννος, ἢ σκηπτοῦχος ᾖ,
Ὅστις τοιούτοις θυμὸν ἀγλαΐζεται.

ΚΕΦ. κέ.

Πῶς τοὺς Ἵππους τοὺς πολεμικοὺς Πέρσαι ἀδεεῖς ἐργάζονται.

Ἴδια δὲ ἵππων ϗ ἐκεῖνα δήπου. Οἱ Πέρσαι, ἵνα μὴ ὦσιν αὐτοῖς οἱ ἵπποι καταπλῆγες, ψόφοις αὐτοὺς ϗ ἤχοις χαλκοῖς προσεθίζουσι, ϗ κωμῳδοῦσιν, ὡς μή ποτε ἐν τῷ πολέμῳ δείσωσι τοὺς τῶν πανοπλιῶν ἀράβους, ϗ τῶν ξιφῶν τὸν πρὸς τὰς ἀσπίδας δοῦπον· εἴδωλά τε νεκρῶν δὴ σεσαγμένα ἀχύροις ὑποβάλλουσιν αὐτοῖς, ἵνα προσεθισθῶσι νεκροὺς ἐν τῷ πολέμῳ πατεῖν, ϗ μὴ δεδιότες ὥς τι ἐκπληκτικὸν, εἶτα μέν τοι δυσωπούμενοι ἐν τοῖς ἔργοις τοῖς ὁπλιτικοῖς ἀχρεῖοι ὦσιν. Οὐκ ἐλελήθει δὲ Ὅμηρον οὐδὲ τοῦτο, ὡς αὐτὸς δείκνυσιν. Ὅτι γοῦν ἀνῃρέθη μὲν ὁ Θρᾷξ Ῥῆσος, σὺν αὐτῷ δὲ ϗ οἱ ἑταῖροι, οὓς ἀκούομεν ἐν Ἰλιάδι ἐκ παίδων· ἃ δὲ ἀκούομεν, ταῦτά ἐστιν· Ἀποσφάττει μὲν ὁ τοῦ Τυδέως τοὺς Θρᾷκας· ὁ δὲ τοῦ Λαέρτου τοὺς ἀνῃρημένους ὑπάγει τῶν ποδῶν, ἵνα μή ποτε νεήλυδες ὄντες οἱ Θρᾷκες ἵπποι, εἶτα μέντοι ἐκπλήττωνται τοῖς νεκροῖς ἐμπαλαττόμενοι, ϗ ἀήθως κατ᾽ αὐτῶν, ὥς τινων φοβερῶν βαίνοντες, ἀποσκιρτῶσιν. Οἱ δὲ ἅπαξ μαθόντες, οὐκ ἂν αὐτοὺς λάβοι τοῦ μαθήματος λήθη· οὕτως εἰσὶν ἀγαθοὶ μαθεῖν ὁτιοῦν τῶν λυσιτελῶν οἱ ἵπποι. Φιλεῖν δὲ οἷοί ποτέ εἰσι, ϗ εἰς ὅσον, ἐμοὶ μὲν εἴρηται ἐν λόγοις τοῖς ἄνω.

CAP. XXVI.

Quemadmodum in gelidis locis Oves fellis expertes ſunt.

In regionibus perfrigidis, cum nive et hieme vehementi anni tempus infeſtum eſt, fellis expers eſt ovillum pecus; intra enim ovilia compulſum novo pabulo non utitur; deinde, ineunte vere, cum ad paſtiones proficiſcitur, felle impletur. Hoc autem Scythicis ovibus uſu maxime evenire ſolere aiunt.

CAP. XXVII.

De hominibus in Africa, qui Pſylli dicuntur.

Agatharchides dicit in Africa nationem eſſe, Pſyllos nuncupatam; et nihil quidem quoad vivendi rationem a reliquis hominibus differre, veruntamen cum aliis nationibus peregrinum eorum corpus comparatum admirationem habere: non enim venenatas beſtias, quae vel ictu vel morſu venenum relinquunt, eis quippiam nocere poſſe; neque aut ſerpentis morſu, aut phalangiorum mortiferis vulneribus, ut ceteros homines, affici; neque ſcorpiorum aculeis laedi ſolere. Cum enim venenatum quiddam ad eos acceſſerit, et vel eorum corpus attigerit, vel aliquem odorem exhauſerit, veluti ſoporiferam bibiſſet potionem, ſtupore adfectum ac ſenſu privatum ſopitur; et tamdiu debilitatur, quoad ab eo Pſyllus receſſerit. Porro natos ſibi infantes quomodo, germani an ſpurii ſint, experiantur, ſerpentibus admotis, ut auri puritatem igne explorant aurifabri, ſupra narravi.

CAP.

ΚΕΦ. κϛʹ.

Πῶς ἐν τοῖς κρυμώδεσι χωρίοις τὰ Πρόβατα ἄχολά ἐστι.

ΕΝ τοῖς κρυμώδεσι τόποις τὰ πρόβατα, τῆς χιόνος ἐπιῤῥεούσης, καὶ τοῦ κρύους ἐνακμάζοντος, ἄχολά ἐστι· καθειργμένα δ' ἄρα, καὶ τοῦ χιλοῦ τοῦ νέου μὴ μεταλαμβάνοντα, εἶτα μὲν τοιαῦτα εὑρίσκεται· ὑπαρχομένου δὲ τοῦ ἦρος, καὶ προϊόντα ἐπὶ τὰς νομὰς, τῆς χολῆς ὑποπίμπλαται. Τοῦτο δὲ ἄρα ἔτι καὶ μᾶλλον φιλεῖ παρακολουθεῖν τοῖς Σκυθικοῖς προβάτοις, φασί.

ΚΕΦ. κζʹ.

Περὶ τῶν ἐν τῇ Λιβύῃ ἀνθρώπων, τῶν καλουμένων Ψύλλων.

ΑΓαθαρχίδης φησὶν εἶναι γένος ἐν τῇ Λιβύῃ τινῶν ἀνθρώπων, καὶ μέν τοι καὶ καλεῖσθαι αὐτοὺς Ψύλλους· καὶ ὅσα μὲν κατὰ τὸν ἄλλον βίον τῶν λοιπῶν ἀνθρώπων διαφέρειν οὐδὲ ἓν, τὸ δὲ σῶμα ἔχειν ξένον τε καὶ παράδοξον ὡς πρὸς τοὺς ἑτεροφύλους ἀντικρινόμενον· τὰ γάρ τοι ζῶα τὰ δακετὰ, καὶ τὰ ἐγχρίπτοντα πάμπολλα ὄντα, μηδὲν αὐτοὺς μόνους ἀδικεῖν· οὔτε γοῦν ὄφεως δακόντος ἐπαΐουσιν, οὔτε φαλαγγίου νύξαντος, ὡς τοὺς ἄλλους, εἰς θάνατον· οὔτε μὴν σκορπίου κέντρον ἀπερείσαντος. Ἐπὰν δὲ ἄρα τούτων προσπελάσῃ τι ἅμα καὶ παραψαύσῃ τοῦ σώματος, καὶ ἅμα τι καὶ ὀσμῆς τῆς ἐκείνων ψαύσῃ ἢ σπάσῃ, ὥσπεροῦν φαρμάκου γευσάμενοι ὑπνοποιοῦ, κάρωσίν τινα ἑλκτικὴν εἰς ἀναισθησίαν ἐμποιοῦντος, ἐξασθενεῖ καὶ παρεῖται, ἔστ' ἂν παραδράμῃ ἄνθρωπος ἐντός. Ὅπως δὲ ἐλέγχωσι τὰ ἑαυτῶν βρέφη, εἴτε ἐστὶ γνήσια, εἴτε καὶ νόθα, ἐν τοῖς ἑρπετοῖς βασανίζοντες, ὡς ἐν τῷ πυρὶ τὸν χρυσὸν οἱ βάναυσοι χρυσουργοὶ, ἀνωτέρω εἶπον.

CAP. XXVIII.

Psylli quomodo morsis opem ferant.

CALLIAS libro decimo historiae, quam conscripsit De Syracusano Agathocle, cerastas inquit pestiferum morsum infligere solere, et bestias ratione carentes, et homines interficere; nisi Libycus vir, natione Psyllus, ad curandum accesserit. Hic sane sive evocatus, sive fortuito advenerit, et plagam adhuc tolerabiliter dolentem viderit, solam salivam ictui morsuive inspuens dolorem mitigat, et perstringit. Sin percussum offenderit aegerrime dolentem, intra dentes permultam aquam haurit, et os suum primo ex ea colluit, post vero eam in poculum injectam vulneratro exsorbendam tradit. Quod si veneni acerbitas acrius invalescit, hic aegrotanti nudo nudus accumbit, et proprio suo corpore morbi vim frangit, et malo hominem liberat. Hoc autem ita se habere idoneus testis etiam Nicander Colophonius fuerit, cujus versus adscribam:

Audivi Libycos Psyllos, quos aspera Syrtis
Serpentumque ferax patria alit populos,
Non ictu inflictum diro, morsuve venenum
Laedere; quin laesis ferre et opem reliquis,
Non vi radicum, proprio sed corpore juncto:

Et quae sequuntur.

ΚΕΦ. κή.

Πῶς ἐπαμύνουσιν οἱ Ψύλλοι τοῖς δηχθεῖσι.

Καλλίας ἐν τῇ δεκάτῃ τῶν Περὶ τὸν Συρακούσιον Ἀγαθοκλέα λόγων φησὶ τοὺς κεράστας ὄφεις δεινοὺς εἶναι τὸ δῆγμα· ἀναιρεῖν γὰρ καὶ ζῶα ἄλογα, καὶ ἀνθρώπους, εἰ μὴ παρείη Λίβυς ἀνὴρ, Ψύλλος ὢν τὸ γένος. Οὗτος γοῦν ἐάν τε κλητὸς ἀφίκηται, ἐάν τε καὶ παρῇ κατὰ τύχην, καὶ θεάσηται πράως ἔτι ἀλγοῦντα τὴν πληγὴν, ἢ τὸ δῆγμα, μόνον προσπτύσας εἶτα μέντοι τὴν ὀδύνην ἐπράϋνε, καὶ κατεγοήτευσε τὸ δεινὸν τῷ σιάλῳ. Ἐὰν δὲ εὕρῃ δυσανασχετοῦντα, καὶ ἀτλήτως φέροντα, ὕδωρ ἀθρόον σπάσας εἴσω τῶν ὀδόντων, καὶ χρησάμενος αὐτῷ τοῦ στόματος κλύσματι, εἶτα τοῦτο εἰς κύλικα ἐμβαλὼν δίδωσι ῥοφῆσαι τῷ τρωθέντι. Ἐὰν δὲ περαιτέρω καὶ τοῦδε τοῦ φαρμάκου κατισχύῃ τὸ δεινὸν, ὅδε τῷ νοσοῦντι παρακλίνεται γυμνῷ γυμνὸς, καὶ τοῦ χρωτὸς οἱ τοῦ ἰδίου προσανατρίψας τὴν ἰσχὺν τὴν συμφυῆ, εἶτα μέντοι τοῦ κακοῦ πεποίηκε τὸν ἄνθρωπον ἐξάντην. Ἀπόχρη δὲ ἄρα ὑπὲρ τούτου εἴη ἂν μάρτυς καὶ Νίκανδρος ὁ Κολοφώνιος λέγων·

Ἔκλυον ὡς Λίβυες, Ψύλλων γένος, οὔτέ τι θηρῶν
Αὐτοὶ κάμνουσι μυδαλέαισι τυπαῖς,
Οὓς Σύρτις βόσκει θηροτρόφος· εὖ δὲ καὶ ἄλλοις
Ἀνδράσιν ἤμυναν τύμμασιν ἀχθομένοις,
Οὐ ῥίζαις ἔρδοντες, ἑοῦ δ᾽ ἀπὸ σύγχροα γύων.

Καὶ τὰ ἐπὶ τούτοις.

CAP. XXIX.

De bigeneribus et insititiis vel biformibus Animalibus.

EMPEDOCLES physicus De animalium proprietate scribens, auctor est nasci quaedam bigenera, in unum scilicet corpus natura duplici coalita. Ea autem, quae canit, haec sunt:

Multa genus duplex referunt animalia membris,
Pectore vel capite, aut alio; sicut videatur
Ante viri retroque bovis forma, aut vice versa:
In pecore humanae quondam vestigia formae
Insunt, et pecoris humano in corpore contra.

CAP. XXX.

De Capris in Lycia.

CALLISTHENES Olynthius capras scribit in Lycia tonderi, ut ubique locorum oves; sunt enim densissimo et prolixissimo hirsutae pilo, ut ab iis cincinni, et capillorum quasi capreoli, implexi ab eis dependere videantur; ex eisdemque navium fabri rudentes contexunt.

CAP. XXXI.

De Cynamolgis Indiae populo, et Canibus apud eosdem.

IN libris, quos Cnidius Ctesias De rebus Indicis conscripsit, Cynamolgorum gentem ait canes permultos, magnitudine Hyrcanis canibus pares, alere solere. Quamobrem vero sit haec natio tam canum studiosa, causam idem adfert. Cum ab aestivo solstitio ad mediam hiemem, tanquam apum examina, aut concitata

ΚΕΦ. κθ΄.

Περὶ διφυῶν ϗ Συγκεκραμένων Ζώων.

ΕΜπεδοκλῆς ὁ φυσικός φησι Περὶ ζώων ἰδιότητος λέγων ϗ ἐκεῖνος δήπου, γίνεσθαί τινα συμφυῆ ϗ κράσει μορφῆς μὲν διάφορα, ἑνώσει δὲ σώματος συμπλακέντα. Ἃ δὲ λέγει, ταῦτά ἐστι·

Πολλὰ μὲν ἀμφιπρόσωπα, ϗ ἀμφίστερνα φύεσθαι,
Βουγενῆ, ἀνδρόπρωρα, τὰ δ᾽ ἔμπαλιν ἐξανατέλλειν
Ἀνδροφυῆ βούκρανα· μεμιγμένα τῇ μὲν ὑπ᾽ ἀνδρῶν
Τῇ δὲ γυναικοφυῆ σκιεροῖς ἠσκημένα γυίοις.

ΚΕΦ. λ΄.

Περὶ τῶν ἐν Λυκίᾳ Αἰγῶν.

ΕΝ Λυκίᾳ λέγει Καλλισθένης ὁ Ὀλύνθιος κείρεσθαι ϗ τὰς αἶγας, ὥσπερ οὖν πανταχῇ τὰ πρόβατα· γίνεσθαι γὰρ δασυτάτας ϗ εὔτριχας δεινῶς τὰς αἶγας, ὡς εἰπεῖν βοστρύχους, ὥς τινας ἕλικας κόμης, ἐξηρτῆσθαι αὐτῶν· ϗ μέντοι ϗ τοὺς τεχνίτας τῆς τῶν νεῶν ἐργασίας καταχρῆσθαι αὐταῖς τὰς σειρὰς συμπλέκοντας, ὡς ϗ τοὺς κάλως ἄλλοι.

ΚΕΦ. λα΄.

Περὶ τῶν ἐν Ἰνδοῖς Κυναμολγῶν καλουμένων, ϗ τῶν παρ᾽ αὐτοῖς Κυνῶν.

ΛΕγει δὲ ἄρα Κτησίας ἐν Λόγοις Ἰνδικοῖς τοὺς καλουμένους Κυναμολγοὺς τρέφειν κύνας πολλοὺς, κατὰ τοὺς Ὑρκανοὺς τὸ μέγεθος. Καὶ εἶναί γε ἰσχυρῶς κυνοτρόφους, ϗ τὰς αἰτίας ὁ Κνίδιος ἐκείνας λέγει. Ἀπὸ τῶν θερινῶν τροπῶν εἰς μεσοῦντα χειμῶνα ἐπιφοιτῶσιν αὐτοῖς ἀγέλαι βοῶν, οἱονεὶ με-

citata vefparum vis, fic armenta numero ampliora boum ferorum eos cornibus vehementer incitata appetant; hi non aliter haec retundere valentes canes, quos magna cura aluerunt, in ipfos immittunt, qui facile boves debellant et interimunt. Deinde ante commemorati homines, quas efculentas carnes exiftimant, fibi auferunt; reliquas canibus impertiunt, libenterque communicant, tanquam pro accepto beneficio grati. Reliquo anni tempore, cum non amplius eo boves accedunt, ad venandas alias feras fecum ducunt. Idcircoque Cynamolgi appellantur, quod a canibus lac exprimunt mulctra; tum vero fic idipfum, quemadmodum nos vel ovillum, vel caprinum, bibunt.

C A P. XXXII.

De Ovibus in Cio, et Cafeo e fpinis.

Aeschylides in libris De re ruftica in Cio infula prodit agricolas fingulos oves poffidere paucas, eo quod folum perquam macrum fit, et pafcua non habeat; itaque eos ovibus cytifum, folia fici et oleae decidua objicere, et paleas leguminum variorum, quibus illae in pabulo acquiefcant. Sed fpinas etiam quafdam ab eis feri ait, e quibus quod emanarit lac coagulari, et in optimum cafeum converti, quem Cynthium nominant; ejufque talentum venire drachmis [centum] et nonaginta. Addit et agnos hujus infulae egregios haberi, et majore quam ceteros pretio vendi.

λιττῶν σμῆνος, ἢ σφηκία κεκινημένη, πλῆθος ἀριθμοῦ κρείττους
οἱ βόες, εἰσὶ δὲ ἄγριοι ϗ ὑβρισαί, ϗ εἰς κέρας θυμοῦνται δει-
νῶς· οὔκουν ἔχοντες αὐτοὺς ἀνασέλλειν ἑτέρως οἵδε, τοὺς τρο-
φίμους αὐτῶν κύνας ἐπ' αὐτοὺς ἀφιᾶσιν, ἐς τοῦτο ἀεὶ τρεφο-
μένους, οἵπερ οὖν καταγωνίζονταί τε ϗ διαφθείρουσιν αὐτοὺς ἐᾶσα-
Εἶτα τῶν μὲν κρεῶν τὰ δοκοῦντά σφισιν εἰς ἐδωδὴν ἐπιτήδεια
ἐξαιροῦσι· τὰ δὲ λοιπὰ τοῖς κυσὶν ἀποκρίνουσι, ϗ μάλα γε
ἀσμένως κοινωνοῦντες αὐτοῖς, ὥσπερ οὖν εὐεργέταις ἀπαρχόμε-
νοι. Κατὰ τὴν ὥραν δὲ, καθ' ἣν οὐκ ἔτι φοιτῶσιν οἱ βόες,
συνθήρους αὐτοὺς ἐπὶ τοῖς ζώοις τοῖς ἄλλοις ἔχουσιν. Καὶ τῶν
θηλειῶν ἀμέλγουσι τὸ γάλα, ϗ ἐκ τούτου κέκληνται· πίνουσι
γὰρ αὐτὸ, ὥσπερ οὖν ἡμεῖς τὸ τῶν οἰῶν τε, ϗ τῶν αἰγῶν.

Κ Ε Φ. λβ'.

Περὶ τῶν ἐν Κίῳ Προβάτων, ϗ τοῦ ἐξ ἀκανθῶν Τυροῦ.

ΑΙσχυλίδης ἐν τοῖς Περὶ γεωργίας κατὰ τὴν Κίων γῆν
πρόβατα γίνεσθαι ὀλίγα ἑκάσῳ τῶν γεωργῶν φησι· τὸ
δὲ αἴτιον, λεπτόγεών τε εἶναι τὴν Κίον ἰσχυρῶς, ϗ νομὰς οὐκ
ἔχειν· κύτισον δὲ ϗ θρία ἐμβάλλειν, ϗ τῆς ἐλαίας τὰ ῥεύ-
σαντα φύλλα, ϗ μέντοι ϗ τῶν ὀσπρίων ἄχυρα ποικίλα τε ϗ
ποικίλων ἐκείνοις ἀγαθὰ εἶναι ταῦτα δεῖπνον. Παρασπεί-
ρειν δὲ ϗ ἀκάνθας, γίνεσθαι δὲ ἐξ αὐτῶν γάλα, ϗ τοῦτο τρε-
φόμενον τυρὸν ἐργάζεσθαι κάλλισον, καλεῖσθαι δὲ αὐτὸν Κύν-
θιον, ὁ αὐτὸς λέγει· ϗ μέντοι ϗ τὸ τάλαντον αὐτοῦ πιπράσ-
κεσθαι δραχμῶν ϗ ἐννενήκοντα. Γίνεσθαι δὲ ϗ ἄρνας τὴν ὥ-
ραν διαπρεπεῖς, ϗ πιπράσκεσθαι οὐ κατὰ τοὺς ἑτέρους, ἀλλὰ ϗ
σοβαρωτέρᾳ τῇ τιμῇ.

CAP. XXXIII.

De Vaccis Phoeniciae, et de Bobus et Capris Libycis; item de Bobus Leuctricis.

PHOENICUM libri teſtantur indigenas vaccas ea eſſe magnitudine, ut vel proceriſſimi paſtores, cum mulgent, ſtare, aut etiam in ſcabellum adſcendere habeant neceſſe, ubera ut poſſint pertingere. In Libya Indis finitima retroverſus paſcentium boum eſſe armenta auditione accepi; cujus rei cauſa eſt, quod non rite collocata a natura ante oculos cornua habent, et quae ante pedes ſunt, videre non queant; ex quo fit, ut ingreſſionem ad caudam retorquentes herbam depaſcantur. Ariſtoteles ait Leuctricorum boum cornua atque aures ex una ſtirpe cognata et ſimul contexta eſſe. Idem auctor eſt, in loco quodam Libyae caprarum ubera a pectore dependere; et apud Budianos Cariſci accolas albam ovem nullam naſci, ſed nigras omnes eſſe.

CAP. XXXIV.

De Capris Sardiniae.

SARDINIAM pecudum optimam eſſe parentem Nymphodorus ſcribit: capraſque procreare, quarum pellibus pro veſtimentis indigenae utantur; tamque mirifica naturae vi eſſe, ut hiberno tempore calefaciant, aeſtivo refrigerent; ſimulque in iis ipſis pellibus cubiti magnitudine pilos innaſci: atque ei, qui iis indutus fuerit, ſi commodum videatur, cum eſt frigida tempeſtas, pilos ad corpus convertit, ut ab iis caleſcat; cum autem eſt aeſtas, invertit, ne calore vexetur.

CAP.

ΚΕΦ. λγ´.

Περὶ τῶν ἐν Φοινίκῃ Βοῶν, καὶ τῶν ἐν Λιβύῃ Βοῶν καὶ Προβάτων· ἔτι δὲ καὶ τῶν ἐν Λεύκτροις Βοῶν.

Φοίνικες λέγουσι λόγοι τὰς βοῦς τὰς ἐπιχωρίους τοσαύτας εἶναι τὸ μέγεθος, ὡς ἑστάναι τοὺς ἀμέλγοντας ὄντας μεγίστους, ἢ δεῖσθαι θρανίου, ἵνα ἀναβάντες ἐφίκωνται τῶν μαζῶν. Λιβύων δὲ ἄρα τῶν γειτνιώντων Ἰνδοῖς ὀπισθονόμων βοῶν ἀγέλας εἶναί τινας ἀκούω· τὸ δὲ αἴτιον, ἡ φύσις ὡς ἐξήμαρτε τὸ πρῶτον, ἢ ὠλιγώρησεν, ἐπεὶ πρὸ τῶν ὀφθαλμῶν αὐτοῖς ἐστι τὰ κέρατα, καὶ ὁρᾷν οὐκ ἐᾷ τὰ πρὸ τῶν ποδῶν· ἡ δὲ εἰς οὐρὰν ἐπανάγει τὴν βάδισιν αὐτοῖς, εἶτα ἐπικύπτοντες κείρουσι τὴν πόαν. Ἀριστοτέλης γε μήν φησι τῶν βοῶν τῶν ἐν Λεύκτροις ἐκπεφυκέναι τὰ κέρατα καὶ τὰ ὦτα, ἔκφυσιν τὴν αὐτὴν, καὶ εἶναι συνυφασμένα. Ὁ δὲ αὐτὸς ἐν χώρῳ τινὶ Λιβύων τὰς αἶγας τοῦ στήθους φησὶ τοὺς μαζοὺς ἔχειν ἀπηρτημένους. Εἴη δ᾽ ἂν τοῦ παιδὸς τοῦ Νικομάχου καὶ ταῦτα, ἐν τοῖς περὶ τὸν Σκαρίσκον Βουδιανοῖς οἰκοῦσιν οὐ γίνεσθαί φησι πρόβατον λευκὸν, ἀλλὰ μέλανα πάντα.

ΚΕΦ. λδ´.

Περὶ τῶν ἐν Σαρδοῖ Αἰγῶν.

Νυμφόδωρος λέγει τὴν Σάρδον εἶναι θρεμμάτων μητέρα ἀγαθήν. Θαυμάσαι δὲ ἄξιον τίκτει ζῶον τὰς αἶγας αὕτη· τὰς γάρ τοι δορὰς τοῖς ἐπιχωρίοις ἠσθῆσθαι, καὶ εἶναι ταῦτα σκέπην· καὶ διὰ χειμῶνος μὲν ἀλεαίνειν, ψύχειν δὲ ἐν τῷ θέρει, φύσει τινὶ ἀποῤῥήτῳ· συμπεφυκέναι δὲ ἄρα ταῖς δοραῖς καὶ πήχεως τὴν τρίχα· τοῦ φορήματος δὲ ἄρα τούτου ἔοικε χρῆναι διὰ μὲν τοῦ κρυμοῦ τὰς τρίχας ἐς τὸν χρῶτα ἀποστρέφειν, διὰ τοῦ θέρους δὲ ἔξω· εἰ μέλλοι ὁ ἠσθημένος διὰ μὲν τοῦ κρυμοῦ θάλπεσθαι, διὰ δὲ τοῦ θέρους μὴ ἀποπνίγεσθαι.

CAP. XXXV.

De Capris in Coytha Indiae vico.

CVR filentio praeterirem Orthagoram? Is in libris, quos confcripfit De rebus Indicis, inquit in Coytha, vico fic nuncupato ab indigenis, pifces aridos capris in ftabulis comedendos objici.

CAP. XXXVI.

De Elephantorum cum Suibus diffidio.

ELEPHANTVM a fuillo timere pecore jam dixi: nunc explicare placet, quod ad Megaram accidit. Cum ab Antipatro Megarenfes circumfederentur, acerrimeque Macedones incumberent, primo in fues pice liquida oblitos incendium Megarei excitarunt, deinde fic incenfos in hoftes immiferunt. Ii itaque furore inflammati, cum in elephantorum agmina incurrerunt, tum clamantes, nempe igni flagrantes, quafi quibufdam furiis elephantos incitarunt, et graviter perturbarunt. Itaque nullum neque ordinem tenebant, neque amplius, quamvis a primo aetatis tempore domiti fuiffent, manfuefacti erant; five quod fua quadam natura a fuibus abhorreant, five etiam quia horum abfonum vocis acumen perhorreant. Cujus rei non ignari educatores generis elephantini una cum fuibus pullos alunt, ex confuetudine eos ut minus horreant.

tem, imitatur; et ſi quem viderit oculos rubrica pingentem, hoc idem facere ſtudet. Itaque pro his ex plumbo factos graves calceos proponunt, et laqueos ſubjiciunt, ut pes quidem inſeri poſſit, ſed interim firmo vinculo retineatur. Itemque viſco decipiuntur. Speculo etiam Indus venator in ſimiarum conſpectu utitur; cujus loco diſcedens aliud relinquit, et laqueum ſubtus addit validum. Simia vero accedens, et fixo obtutu in ſpeculum intenta imitatione hominis, radiis e ſpeculo reflexis ita adficitur oculis, ut hebetati illi palpebris tanquam agglutinatis conniveant; itaque caecutiens facillime capitur, ut quae fuga ſibi conſulere jam nequeat. Haec et alia de ſimiis tum Indicis, tum non Indicis, nobis commemorata, digna profecto ingenii liberalis cognitione videntur.

CAP. XXVI.

De Leonibus Indiae.

LEONES in India naſci maximos, ne tenuiſſima quidem mihi dubitatio eſt; terra enim India mater optima aliorum animalium in cauſa eſt. Hi erga obvios immaniſſimi dicuntur; eorum pelles nigrae ſunt, et pilis horridae, et adſpectu formidoloſae. Si capiantur, manſueſcunt quidem, modo ne maximi ſint: tum vero adeo adſueſcunt loro, ut facile ſimiliter atque canes ad venandos hinnulos, cervos, apros, tauros, et aſinos ſylveſtres duci queant: ſagaciſſime enim, ſicut audio, odorantur.

CAP.

τινα ὑποδήματα τοῖς ποσὶ περιθέντα, μιμεῖται τὴν ὑπόδεσιν· καὶ ὑπογράφοντα τὼ ὀφθαλμὼ μίλτῳ, καὶ τοῦτο δρᾶσαι θέλει· Οὐκοῦν ὑπὲρ τῶν εἰρημένων μολίβου πεποιημένα κοῖλα καὶ βαρέα ὑποδήματα προτιθέασι, καὶ βρόχους αὐτοῖς ὑποβαλόντες, ὡς εἰσβαλεῖν μὲν τὼ πόδε, ἔχεσθαι δὲ τῇ πάγῃ καὶ μάλα ἀφύκτῳ. Δέλεαρ δὲ αὐτοῖς ὀφθαλμῶν πρόκειται ὑπὲρ τούτου ἰξός. Κατόπτρῳ δὲ χρησάμενος ὁ Ἰνδὸς, ὁρώντων ἐκείνων, οὐκ εἰσὶ δ' ἔτι τὰ κάτοπτρα, ἀλλ' ἕτερα προστιθέντες· εἶτα καὶ τούτοις ἕρματα ἰσχυρὰ ὑποπλέκουσιν, καὶ μέντοι καὶ τοιαῦτά ἐστιν. Οἱ μὲν ἔρχονται, καὶ ἀγεννῶς ὁρῶσι, κατὰ τὴν μίμησιν ἣν εἶδον, ἐκπηδᾷ δὲ ἰσχύς τις κολλητικὴ βλεφάρων ἐκ τῆς πρὸς τὴν αὐγὴν ἀντιτυπίας, ὅταν ἴδωσιν ἀτενές· εἶτα οὐχ ὁρῶντες αἱροῦνται ῥᾷστα, φυγεῖν γὰρ ἔτι εἰσὶν ἥκιστοι. Εἴρηται μὲν ὑπὲρ πιθήκων καὶ ἄλλα, Ἰνδῶν τε καὶ οὐκ Ἰνδῶν· καὶ ταῦτα δὲ ἔχειν τινὰ τῷ συνιέντι οὐκ ἀσπούδαστον, οὐ μὰ Δία.

ΚΕΦ. κϛ'.

Περὶ τῶν Ἰνδῶν Λεόντων.

Λέοντας ἐν Ἰνδοῖς οὐ γίνεσθαι μεγίστους οὐ διαπορῶ· τὸ δὲ αἴτιον, τῶν ζώων τῶν ἑτέρων ἥδε ἡ γῆ μήτηρ ἐστὶν ἀγαθή. Ὅσα δ' ἐντυχεῖν κατὰ πρόσωπον εἰσὶν οἵδε ἀγριώτατοι καὶ θηριωδέστατοι· δέρη ἐκείνων λεόντων μέλαινά τε ἰδεῖν, καὶ φρίξασα ὀρθή τε ἀνίσταται, καὶ συνεκπέμπει δέος οἷον ἐκπληκτικόν. Εἰ δὲ ἁλῶναι δυνηθεῖεν, πραΰνονταί γε, ἀλλ' οὐχ οἱ μέγιστοι· καὶ ἡμεροῦνταί γε, καὶ γίνονταί γε ῥᾷστα τιθασσοί, ὡς ἄγειν τε ὑπὸ ῥυτῆρος, καὶ κατὰ κυναγωγοὺς ἐπὶ θήραν κεμάδων, καὶ ἐλάφων, καὶ συῶν, καὶ ταύρων, καὶ ἀγρίων ὄνων· εἰσὶ γὰρ καὶ ῥινηλατῆσαι, ὡς ἀκούω, δεινοί.

CAP. XXVII.

De gente in Africa a Leonibus extincta.

In Africa gens fuit, ut fertur, Nomea [id eſt, paſtoralis] dicta, et regionem ſortita paſcuis abundantem, et fortunatam; ſed tandem cum leones plurimi, et maximi, et audacia invicti ſuperveniſſent, penitus eſt extincta, ita ut nihil ejus reliquum ſit factum. Leones enim confertim advenientes expugnari nequeunt.

CAP. XXVIII.

De feris animalibus in Samo, quae Neades vocantur.

Euphorion in Commentariis ſcriptum reliquit, Samum cum olim deſertiſſimam fuiſſe, tum in ea beſtias feras, et infeſtas obviis, maxima magnitudine, nomine Neades fuiſſe, quarum ſola voce terra diſcederet; indeque profectum eſſe id proverbium, quod vulgo Samii dicunt: *Majus vi Neadum.* Idemque adfert earum oſſa maxima vel ſua aetate extitiſſe.

CAP. XXIX.

De vi Elephantorum.

Indorum regem hoſtibus bellum inferentem bellatorum centum mille elephantorum antecedunt; tum vero aliorum maximorum et fortiſſimorum ter mille ſubſequuntur, ad hoſtiles muros ipſo incurſu evertendos inſtitutorum, cum rex jubet: evertunt autem pectorum ſuorum vi et impetu. Hoc ſe audiviſſe Cteſias ſcribit. Idemque Babylone ſe vidiſſe dicit palmas ab his eodem modo

ΚΕΦ. κζ΄.

Περὶ τȣ̃ ἐν Λιβύῃ ἔθνȣς τȣ̃ ὑπὸ Λεόντων ἀπολωλότος.

ΕΝ τῇ Λιβύων χώρᾳ ἔθνος ἦν, φασὶ, τὸ καλȣ́μενον Νόμαιον, ϗ τὰ μὲν ἄλλα διευτυχȣ̃ν τῆς εὐνόμȣ μάλα, ϗ εὐδαίμονος ναὶ μὰ Δία λήξεως· εἶτα ἠφανίσθη τελέως, λεόντων αὐτοῖς ἐπελθόντων, πλήθει τε παμπόλλων, ϗ μεγέθει μεγίςων, ϗ τὴν τόλμαν ἀμάχων, ὑφ' ὧν πανδημεί τε ϗ παγγενεὶ διαφθαρέντες, εἶτα ἐς τὸ παντελὲς ἀπώλοντο τὸ ἔθνος. Λεόντων γὰρ ἀθρόων ἐπιδημία χρῆμα ἀπρόσμαχον.

ΚΕΦ. κή.

Περὶ τῶν ἐν Σάμῳ Θηρίων τῶν καλȣμένων Νηάδων.

ΕΥφορίων δὲ ἐν τοῖς Ὑπομνήμασι λέγει τὴν Σάμον ἐν ταῖς παλαιοτάταις τȣ̃ χρόνȣ ἐρήμην, γενέσθαι τε ἐν αὐτῇ θηρία μεγέθει μὲν μέγιςα, ἄγρια δὲ, ϗ προσπελάσαι τῳ δεινὰ, καλεῖσθαι δὲ μὴν νηάδας, ἅπερ ȣ̃ν ϗ μόνῃ τῇ βοῇ ῥηγνύναι τὴν γῆν· παροιμίαν ȣ̃ν ἐν τῇ Σάμῳ διαῤῥεῖν τὴν λέγȣσαν· Μεῖζον βίᾳ τῶν νηάδων. Ὀςᾶ δὲ ἔτι ϗ νῦν αὐτῶν δείκνυσθαι μεγάλα ὁ αὐτός φησι.

ΚΕΦ. κθ΄.

Περὶ τῆς τῶν Ἐλεφάντων ἰσχύος.

ΤΟΥ Ἰνδῶν βασιλέως ἐλαύνοντος ἐπὶ τȣ̀ς πολεμίȣς, δέκα μυριάδες ἐλεφάντων προηγȣ̃νται μαχίμων· ἑτέρȣς δὲ ἀκȣ́ω τρισχιλίȣς τȣ̀ς μεγίςȣς τε ϗ ἰσχυροτάτȣς ἕπεσθαι, οἵπερ ȣ̃ν εἰσι πεπαιδευμένοι τὰ τείχη τῶν πολεμίων ἀνατρέπειν, ἐμπεσόντες ὅταν κελεύσῃ βασιλεύς· ἀνατρέπειν δὲ τοῖς ςήθεσι. Καὶ λέγει μὲν ταῦτα ϗ Κτησίας, ἀκȣ̃σαι γράφων. Ἰδεῖν δ' ἐν Βαβυλῶνι ὁ αὐτὸς λέγει τȣ̀ς φοίνικας αὐτοῤῥίζȣς ἀνατρεπομένȣς

modo impetu violentiſſimo exſtirpatas; idque facere ſolent, cum domitor illud ipſis juſſerit.

C A P. XXX.
De Piſcibus in palude Paeonide.

ZENOTHEMIS ſcribit in Paeonide palude quoſdam piſces procreari, quibus adhuc palpitantibus, ſi eos bubulo pecori edendos objicias, expletur non minus libenter, quam ceteri boves foeno; contra ab eorundem mortuorum uſu, ſicut idem ait, tantopere abhorret, ut non attingat.

C A P. XXXI.
De Piſcibus in Armenia.

IN Armenia excelſum ſaxum auditione accepi permultam aquam emittere, atque ſub ipſum ſubjici fontem undiquaque quadratum tres paſſus profundum, ſingulaque ejus latera ſtadii dimidium occupare; et ſimul cum aqua piſces frequentes excidere, cubiti magnitudine, tum majores, tum non multo minores; et ex iis partim delabi ſemimortuos, partim adhuc palpitantes emori. Et pervagatum eſt eos colore eſſe nigerrimos, nec adſpectu inſuaves. Verumtamen ſi quid eorum vel homo vel fera beſtia guſtarit, ſtatim mori. Propterea vero Armenios, quod illorum regio ferarum multitudine redundet, primum eos collectos ad ſolis radios exſiccare; deinde ne hauſta piſcium adſpiratione gravi et peſtilenti, aut excitato inde pulvere hauſto pereant, ore et naribus obturatis hoc piſcium genus contundere, et in farinam redigere; tum

τρεπομένες ὑπὸ τῶν ἐλεφάντων τὸν αὐτὸν τρόπον, ἐμπιπτόντων αὐτοῖς θηρίων βιαιότατα· δρῶσι δ', ἂν ἄρα ὁ Ἰνδὸς ὁ πωλεύων αὐτοῖς κελεύσῃ δρᾶσαι τἒτο αὐτοῖς.

ΚΕΦ. λ´.

Περὶ τῶν ἐν Παιονίδι τῇ λίμνῃ Ἰχθύων.

ΖΗνόθεμις λέγει περὶ Παιονίδα λίμνην τινὰς φέρειν ἰχθῦς, ὥσπερ ὖν εἰ παραβάλοι τις ἀσπαίροντας τοῖς βεσὶν, οἵδε ἐμφορεῦνται αὐτῶν μάλα ἀσμένως, ὡς οἱ λοιποὶ τἒ χόρτε· νεκρῶν δὲ τῶν ἰχθύων, ἐκ ἂν πάσαιντο ἔτι οἱ βόες, ἐκεῖνος λέγει.

ΚΕΦ. λα´.

Περὶ τῶν ἐν Ἀρμενίᾳ Ἰχθύων.

ΠΑρὰ Ἀρμενίοις ἀκέω πέτραν εἶναι ὑψηλὴν, εἶτα ταύτην ὕδωρ ἐκβάλλειν πάμπολυ· ὑποκεῖσθαι δὲ τῇ πέτρᾳ πυνθάνομαι κρήνην τετράγωνον πάντη, καὶ ἑκάστην πλευρὰν σαδίε ἥμισυ ἔχειν, βάθος δὲ τριῶν ὀργυῶν εἶναι· συνεκπίπτειν δὲ τῷ ὕδατι προσακέω τῷ προειρημένῳ καὶ ἰχθύας πολλάκις ἔχοντας τὸ μῆκος καὶ πήχεως, καὶ ἔτι μείζες, καὶ μέντοι καὶ ἐλάττονας, ἀλλ' ἐ κατὰ πολύ· καὶ τὲς μὲν αὐτῶν κατολισθαίνειν ἡμιθνῆτας, τὲς δὲ ἀσπαίροντας καὶ μάλα γε ἰσχυρῶς ἀποθνήσκειν. Εἶναι δὲ αὐτὲς ἡ φήμη λέγει πάνυ σφόδρα μέλανας, καὶ ἰδεῖν ἐκ ἀηδεῖς. Ἂν δέ τι τέτων γεύσηται ἢ ἄνθρωπος ἢ θηρίον, παραχρῆμα ἀπόλλυται. Τὲς μὲν ὖν Ἀρμενίες, διὰ τὸ ἔνθηρον αὐτοῖς εἶναι καὶ πολύθηρον τὴν γῆν, ἀθροίζειν αὐτὲς, καὶ αὐαίνειν ὑπὸ τῇ εἵλῃ τἒ ἡλίε· εἶτα κόπτειν ὑποδήσαντάς τι κάτω ταῖς ῥισὶ καὶ τῷ σόματι, ἵνα μὴ τῷ ἄσθματι ἐκσπάσαντες τὸν ἐκπτυσσόμενον ἀέρα, ἢ τὴν ἐγειρομένην ἐκ λεπτῶν τινων κόνιν ἀλφίτων, εἶτα ἀποθάνωσι· ποιήσαντες ὖν ἄλευρα τὲς ἰχθῦς ἐν τοῖς μάλιστα θηριωτάτοις χωρίοις κατασπείρεσιν αὐτὰ, ὧν

tum ad ficus admiſtam in ea loca, quae maxime abundant feris, diſſeminare. Beſtiae primum ut eas attigerunt, ſtatim moriuntur; atque ſic apri, dorcades, cervi, urſi, aſini ſylveſtres, feraeque caprae necantur; nam ejuſmodi animalia ficuum et farinarum avidiſſima ſunt: perimuntur autem hoc modo, quod nimium abundent. Iam vero alio modo tollunt leones, pardales, lupos, quippe qui carnivori ſunt. Nam in domeſticarum ovium et caprarum diſciſſo latere, quatenus manus inſeri queat, earum carnibus farinam infarciunt, et infelicem hercle eſcam praedictis feris objiciunt; cum enim ejuſmodi quippiam pardalis, leo, lupus guſtarint, continuo moriuntur. Eſt autem cum omnis Armenia mater et nutrix ferarum, tum praecipue campeſtris circa fluvium.

CAP. XXXII.

De Oxyrynchis piſcibus in Caſpia regione.

In Caſpia regione audio ingentem lacum eſſe, et in eo maximos piſces naſci, qui oxyrynchi vocantur, videlicet a roſtri forma; eoſque ad magnitudinem octo cubitorum excreſcere. Eos Caſpii captos ſale ſpargunt, et ex illis ſalſamenta conficiunt, eoſdemque exſiccatos camelis doſſuariis Ecbatana vehunt. Item adipe detracto, farinas ex iis conficiunt; et hujuſmodi ſalſamenta quidem vendunt; oleo vero pinguiſſimo et non graveolenti ungunt. Atque etiam exempta ex iis viſcera excoquunt, unde ad permultos uſus accommodatum fit glutinum: nam non modo ad quaecunque applicatum fuerit, adhaereſcit, viſu perlucidum; ſed et firmiſſime retinet, ut et decem diebus madefactum non tamen diſſol-

γευσάμενα τὰ ζῷα ἀποθνήσκει, καὶ σῦκα δὲ παραμίγνυνται τοῖς ἀλεύροις οὕτως ἔχουσιν. Οὕτω μὲν οὖν διαφθείρονται οἵτε σῦς οἱ ἄγριοι, καὶ αἱ δορκάδες, καὶ οἱ ἔλαφοι, καὶ οἱ ἄρκτοι, καὶ οἱ ὄνοι οἱ ἄγριοι, καὶ αἶγες, ἄγριοι μέντοι καὶ οὗτοι· συκοτράγα γὰρ ταῦτα καὶ ἀλφιτοφάγα τὰ ζῷά ἐστιν· ἀναιρεῖται δὲ τὸν τρόπον τοῦτον διὰ τὸ πλῆθος. Λέοντας δὲ, καὶ παρδάλεις, καὶ λύκους, σαρκοφάγα ὄντα, ἑτέρως ἀναιροῦσι. Τῶν γὰρ οἴων τῶν ἡμέρων καὶ τῶν αἰγῶν παρασχίσαντες τὴν πλευρὰν, εἰς ὅσον καθεῖναι τὴν χεῖρα, ἐμπλάττουσι τῶν αὐτῶν κρεῶν προκεῖσθαι, κακὸν ναὶ μὰ Δία δέλεαρ τοῖς προειρημένοις· ὅταν οὖν ἢ λέων, ἢ πάρδαλις, ἢ λύκος, ἢ ἄλλό τι τοιοῦτον ἐντύχῃ καὶ γεύσηται, τέθνηκε παραχρῆμα. Καὶ πᾶσα μὲν οὖν ἡ Ἀρμενία θηρίων ἀγρίων τροφός τε ἅμα καὶ μήτηρ ἐστὶν· ἡ δὲ πεδιὰς ἔτι καὶ μᾶλλον ἡ πρὸς τῷ ποταμῷ.

ΚΕΦ. λβʹ.

Περὶ τῶν ἐν τῇ Κασπίᾳ ἰχθύων Ὀξυρύγχων.

ΕΝ τῇ Κασπίᾳ γῇ λίμνην ἀκούω μεγίστην εἶναι, καὶ ἰχθῦς ἐν αὐτῇ γίνεσθαι μεγάλους, καὶ ὀξύρυγχοι καλοῦνται, κατὰ τὸ σχῆμα τοῦ προσώπου δηλονότι· καὶ προϊέναι μὲν ἐς μῆκος καὶ ὀκτὼ πηχῶν. Οὐκοῦν οἱ Κάσπιοι θηρῶσιν αὐτοὺς, καὶ διαπάσαντες ἁλσὶ καὶ ταρίχους ἐργασάμενοί τε καὶ ἀποφήναντες αὔους, ἐπισάξαντες καμήλοις κομίζουσιν εἰς Ἐκβάτανα. Καὶ ποιοῦσιν ἄλφιτα ἐκ τῶνδε τῶν ἰχθύων, ἀφελόντες τὴν πιμελήν· καὶ τοῦ μὲν ταρίχου πιπράσκουσι, τῷ δὲ ἰχθυΐνῳ ἐλαίῳ χρίονται, λιπαρῷ σφόδρα καὶ οὐ δυσώδει. Τὰ δὲ ἔντερα ἐξαιροῦσιν αὐτῶν, καὶ ἕψουσι, καὶ ἐξ αὐτῶν ποιοῦσιν κόλλαν, καὶ μάλα γε ἐν χρείᾳ γίνεσθαι δυναμένην· συνέχει γὰρ πάντα ἐγκρατῶς, καὶ προσέχεται οἷς ἂν προσπλακῇ, καὶ ἰδεῖν ἐστι λαμπροτάτη· οὕτω δὲ συνέχει πᾶν ὅτι ἂν συνδήσῃ τε καὶ συνάψῃ, ὡς καὶ δέκα ἡμερῶν αὐτὴν βρεχομένην μήτε λύεσθαι, μήτε μὴν ἀφίσα-

diſſolvatur, neque remittat: itaque etiam artifices, qui circa ebur laborant, eo utuntur, et opera conficiunt pulcherrima.

C A P. XXXIII.

De Ave quadam Caſpia; item de altera Caſpia, vel potius Indica.

FAMA quaedam venit in ſermonem hominum apud Caſpios avem procreari magnitudine maximi gallinacei; verſicolore varietate florentem; atque auditione accepi eam ſupinam volare, et ſub collum extenſis cruribus ſe veluti ſublevare; tum catelli vocem mittere; neque in ſublime, ſed circum terram idcirco volare, quod in altum non queat ſeſe attollere. Eſt et altera avis Caſpia, vel potius Indica (nam in India etiam naſci dicitur) anſeris magnitudine: lato quidem ſed tenui capite, cruribus parvis eſt: vario colore diſtinguitur; nam ejus dorſum purpureum eſt, venter maxime coccineus, caput et cutis exalbeſcunt: vocem caprinam mittit.

C A P. XXXIV.

De Caſpiis Capris et Camelis.

CASPIAE caprae et albiſſimae ſunt, et cornibus mutilae, corpore parvae ac ſimae. Cameli quoque Caſpiis abundant, quarum maximae ad equorum maximorum accedunt magnitudinem. Eorum villi adeo ſunt molles, cum Mileſiis lanis ut mollitudine comparari poſſint; ex iiſque ſacerdotes et Caſpiorum ditiſſimi praecipuique veſtes conficiant.

CAP.

σθαι· ἀλλὰ ϗ τὲς τὸν ἐλέφαντα χειρᾶντας χρῆσθαί τε αὐτῇ, ϗ τὰ ἔργα ἐκπονεῖν κάλλιςα.

Κ Ε Φ. λγ΄.

Περὶ τᾶ Ὄρνιθος τᾶ Κασπίε, ϗ ἑτέρε ἔτι Κασπίε, ἢ μᾶλλον Ἰνδᾶ.

ΛΕγει τις λόγος ἐν Κασπίοις ὄρνεον γίνεσθαι, τὸ μὲν μέγεθος κατὰ τὲς ἀλεκτρυόνας τὲς μεγίςες, ποικίλον γε μὴν τοῖς πτεροῖς, ϗ πολυχροίᾳ διηνθισμένον· ϗ πέτεται ὕπτιον, ὡς ἀκέω, ὑποτεῖναν τῷ τραχήλῳ τὰ σκέλη, ϗ οἷον ἀντέχων αὐτοῖς αὐτόν· κλαγγὴν δὲ προΐεσθαι σκυλακίε· ποιεῖσθαι δὲ τὴν πτῆσιν ἐκ ἐν ἀέρι βαθεῖαν, ἀλλὰ περὶ τὴν γῆν, ἐλαφρίζειν εἰς ὕψος ἑαυτὸν μὴ δυνάμενον. Κάσπιος δὲ ἄρα ϗ ἔτος ὄρνις, ἢ Ἰνδὸς μᾶλλον (λέγεται γὰρ ϗ ἐκείνη τὸ γένος οἱ ϗ ταύτῃ) ϗ εἴη τὸ μέγεθος κατὰ χῆνα ἄν· ϗ ἔχει κεφαλὴν πλατεῖαν μὲν, λεπτὴν δὲ, ϗ τὰ σκέλη οἱ μικρά· ϗ κεκραμένη χρόα οἱ ϗ μικτὴ, τὸ μὲν γὰρ νῶτον αὐτῷ πορφυροῖς ἠγλάϊςαι, τὸ δὲ ὑπὸ τῇ γαςρὶ κόκκῳ γνησιωτάτῳ ϗ καλλίςῳ προσείκαςαι, κεφαλὴ δὲ ϗ δέρμα λευκὰ ἄμφω· φθέγγεται δὲ κατὰ τὴν αἶγα.

Κ Ε Φ. λδ΄.

Περὶ τῶν Κασπίων Αἰγῶν, ϗ Καμήλων.

ΑΙγες δὲ Κάσπιαι γίνονται λευκαὶ ἰσχυρῶς, ϗ κεράτων δὲ ἄγονοι, μικραὶ τὸ μέγεθος ϗ σῖμαι. Κάμηλοι δ᾽ ἀριθμᾶνται πλείες, αἱ μέγιςαι κατὰ τὲς ἵππες τὲς μεγίςες, εὔτριχες ἄγαν. Ἁπαλαὶ γάρ εἰσι σφόδρα αἱ τέτων τρίχες, ὡς ϗ τοῖς Μιλησίοις ἐρίοις ἀντικρίνεσθαι τὴν μαλακότητα· ἐκᾶν ἐκ τέτων οἱ ἱερεῖς ἐσθῆτα ἀμφιέννυνται, ϗ οἱ τῶν Κασπίων πλεσιώτατοί τε ϗ δυνατώτατοι.

CAP. XXXV.

De apibus, quae Chalcoides cognominantur.

ANTENOR in Libris rerum Creticarum in Rhauciorum urbem ait divino quodam impulſu apum, quae vocantur Chalchoides, examen acceſſiſſe, et defixis aculeis obvios vehementer vexaſſe: illos earum impetum non ſuſtinentes e patria migraſſe, et in alium perveniſſe locum, ibique condidiſſe oppidum, quod ſimiliter matriae, ut Cretice loquar, amore Rhaucum in ipſa Creta nominarunt; ut quamvis patria vi fatali eſſent depulſi, nomen tamen illius retinerent. Ait autem Antenor in Ida monte Cretae etiamnum harum apum paucas quaſdam eſſe reliquias, quae ſimiliter, ut illae, obvios acriter pungant.

CAP. XXXVI.

Quemadmodum Leo carnes cameli appetit.

CAMELI carnes a leonibus comedi ſolere teſtimonio eſt Herodotus; cum in Xerxis camelos, qui commeatum portarent, dicit leones invaſiſſe, et ex aliis animalibus nulla, neque jumenta, neque homines attigiſſe. At mihi Herodotus paucarum in natura rerum peritus videtur, qui leones Thracios miratur voluptatem in cibo unam alteri praepoſuiſſe; nam camelos quantopere appetant, Arabes ſciunt, et quicunque regionem leonum ſimul et camelorum parentem atque nutricem habitant. Itaque non admiror, ſi leo vi quadam naturali et occulta cameli carnem expetit, et in hoc animal etiam nunquam prius viſum ſui satiandi cauſa irruit. Appetitus enim naturalis eos, etiam cum primum vident, ut ſuaviſſimum inde ſibi futurum parent alimentum, incitat.

CAP.

ΚΕΦ. λέ.

Περὶ τῶν μελισσῶν καλουμένων Χαλκοειδῶν.

ΕΝ Λόγοις Κρητικοῖς Ἀντήνωρ λέγει τῇ τῶν καλουμένων Ῥαυκίων πόλει ἔκ τινος δαιμονίας προσβολῆς ἐπιφοιτῆσαι μελιττῶν σμῆνος, αἵπερ οὖν καλοῦνται χαλκοειδεῖς· ἐγχρίμπτουσαι δὲ ἄρα αὐτοῖς τὰ κέντρα, εἶτα μέντοι πικρότατα λυπεῖν οὕσπερ οὖν· ἐκείνους δὲ τὴν προσβολὴν οὐ φέροντας ἀναστῆναι τῆς πατρίδος, καὶ μέντοι καὶ εἰς χῶρον ἐλθεῖν ἄλλον, καὶ οἰκίσαι φιλίᾳ τῆς μητρίδος, ἵνα Κρητικῶς εἴπω, Ῥαῦκον ἐν αὐτῇ τῇ Κρήτῃ· εἰ καὶ τοῦ χωρίου ὁ δαίμων ἤλαυνεν αὐτοὺς, ἀλλὰ γοῦν τελείως ἀποσπασθῆναι τοῦ ὀνόματος οὐχ ὑπομείναντας. Λέγει δὲ ὁ Ἀντήνωρ καὶ ἔτι κατὰ τὴν Ἴδην τὴν Κρῆσσαν ἐκείνου τοῦ γένους τῶν μελιττῶν εἶναι ἰνδάλματα, οὐ πολλὰ μὲν, εἶναι δ' οὖν καὶ πικρὰς ἐντυχεῖν, ὡς ἐκεῖναι ἦσαν.

ΚΕΦ λϛ'.

Ὅπως ἔχει πρὸς τὸ τῆς καμήλου κρέας ὁ Λέων.

ΚΑμήλου κρέας ἥδεται λέων ἐσθίειν· καὶ τὸ μαρτύριον Ἡρόδοτος λέγει, ταῖς Ξέρξου καμήλοις ταῖς τὸν σῖτον φερούσαις ἐπιθέσθαι λέοντας· τὰ δὲ ἄλλα οὐκ ἐσίνοντο, οὐχ ὑποζύγια, οὐκ ἄνθρωπον, ἦδ' ὅς. Ὀλίγα δὲ Ἡρόδοτος ᾔδει, ἐξετάζων τροφὴν τήνδε καὶ τήνδε κατὰ τὴν ἡδονὴν λεόντων Θρακίων· ἴσασι δὲ καὶ Ἄραβες ταῦτα, καὶ ὅσοι λῷον καὶ καμήλων μητέρα τε ἅμα καὶ τροφὸν γῆν ἔχουσιν. Οὐκ ἂν γοῦν θαυμάσαιμι, εἰ φύσει τινὶ ἀποῤῥήτῳ λέων ἥδεται καμήλου κρέας, καὶ μὴ θεασάμενος φαγεῖν, εἴ ποτε ἐντύχῃ καὶ πρῶτον. Ἡ γὰρ φυσικὴ ἐπιθυμία καὶ τοὺς οὐκ εἰδότας ἐς τὴν τῆς τροφῆς ἐπιθυμίαν ἀναφλέγει.

CAP. XXXVII.

Quemadmodum Aquila ab homine auxilium adſecuta ſtatim ei benefactum retribuerit.

DECEM et ſex viri triturantes, et in maximis ſolis ardoribus ſiti preſſi, unum ex ſuis, ut aquam de proximo hauriret fonte, miſerunt. Is abiens meſſoriam falcem manu tenebat, et in humeris ſitulam geſtabat; ubi vero ad fontem venit, offendit aquilam quam ſtrictiſſime cauteque ſerpente circumplicatam, jamjamque ſuffocandam. In eam enim aquila involaverat, verum non compos voti neque inſidias evadere, neque pullis, juxta Homericum illud, epulas adferre poterat; ſed ſpiris illius, ceu laqueis, circumventa vicina erat ad pereundum, non perdendum. Agricola, vel quod non ignoraret, vel quod auditione accepiſſet, aquilam Iovis nunciam et miniſtram eſſe, et quod noſſet feram et improbam beſtiam eſſe ſerpentem, falce eam diſſecuit; et vinculis aquilam, unde effugere non poterat, exſolvit. Cumque his obiter geſtis revertiſſet, atque hauſta aqua vinum temperatum omnibus miniſtraſſet; ii quidem avidiſſime copioſeque in prandio bibere ingrediuntur: is autem qui aquam hauſiſſet, jam poſt illos bibiturus erat; nam hactenus pocillator, non compotor erat. Ad labra igitur poculum cum admoviſſet, ſervata ab eo aquila circum locum illum etiam nunc felici ejus fortuna verſans, ut hanc mercedem obtentae ſalutis perſolveret, ſic in poculum involavit, ut potio effunderetur. Ille quia ſitiebat, indignatus ait: Hancne gratiam, cum ſis illa (nam avem recognoſcebat) tuo conſervatori refers?

at

ΚΕΦ. λζ'.

Ὅπως Ἀετὸς βοηθείας ὑπ' ἀνθρώπου τυχὼν εὐθὺς ἤμειψε τὴν ὠφέλειαν.

ΑΛοῶντες ἄνθρωποι τοῦ ἡλίου καταφλέγοντος, δίψῃ πιεζόμενοι, τὸν ἀριθμὸν ἑκκαίδεκα, ἕνα ἑαυτῶν ἀπέστειλαν ἐκ πηγῆς γειτνιώσης κομίσαι ὕδωρ. Οὐκοῦν ὁ ἀπιὼν, τὸ μὲν δρέπανον τὸ ἀμητικὸν διὰ χειρὸς εἶχε, τὸ δὲ ἀρυστικὸν ἀγγεῖον κατὰ τοῦ ὤμου ἔφερεν· ἐλθὼν δὲ καταλαμβάνει αἰετὸν ὑπό τινος ὄφεως ἐγκρατῶς τε καὶ εὐλαβῶς περιπλακέντος ἀποπνιγόμενον ἤδη. Ἔτυχε δὲ ἄρα καταπτὰς μὲν ἐπ' αὐτὸν ὁ ἀετὸς, οὐ μὴν κρείττων γενόμενος, οὐδὲ τῆς ἐπιβουλῆς ἐγκρατὴς ἐγένετο, οὐδὲ τοῦτο δὴ τὸ Ὁμηρικὸν τοῖς ἑαυτοῦ τέκνοις τὴν δαῖτα ἐκόμισεν· ἀλλὰ ταῖς ἐκείνου σπείραις περιπεσὼν ἕρμασιν ἔμελλεν οὐ μὰ Δί' ἀπολεῖν, ἀλλ' ἀπολέσθαι. Εἰδὼς οὖν ὁ γεωργὸς, ἢ ἀκούων, τὸν μὲν εἶναι Διὸς ἄγγελον καὶ ὑπηρέτην, εἰδώς γε μὴν κακὸν θηρίον τὸν ὄφιν, τῷ δρεπάνῳ τῷ προειρημένῳ διακόπτει τὸν θῆρα· καὶ μέντοι καὶ τῶν ἀφύκτων ἐκείνων εἱργμῶν τε καὶ δεσμῶν τὸν ἀετὸν ἀπολύει. Ὁδοῦ μέντοι πάρεργον τῷ ἀνδρὶ ταῦτα καὶ δὴ διεπέπρακτο, ἀρυσάμενος δὲ τὸ ὕδωρ ἧκε, καὶ πρὸς τὸν οἶνον κεράσας ὤρεξε πᾶσιν· οἱ δὲ ἄρα ἐξέπιον, καὶ ἀμυστὶ καὶ πολλὰς ἐπὶ τῷ ἀρίστῳ· ἔμελλε δὲ καὶ αὐτὸς ἐπ' ἐκείνοις πίεσθαι· ἔτυχε γὰρ ὑπηρέτης κατ' ἐκεῖνό πως τοῦ καιροῦ, ἀλλ' οὐ συμπότης ὤν. Ἐπεὶ δὲ τοῖς χείλεσι τὴν κύλικα προσῆγεν, ὁ σωθεὶς ἀετὸς ζωάγρια ἐκτίνων οἱ, καὶ κατὰ τύχην ἀγαθὴν ἐκείνου ἔτι διατρίβων περὶ τὸν χῶρον, ἐμπίπτει τῇ κύλικι, καὶ ἐκταράττει αὐτὴν, καὶ ἐκχεῖ τὸ ποτόν. Ὁ δὲ ἠγανάκτησε, καὶ γὰρ ἔτυχε διψῶν, καὶ λέγει· Εἶτα μέντοι σὺ μὲν ἐκεῖνος ὢν (καὶ γὰρ καὶ τὸν ὄρνιν ἐ-

at quomodo haec decora? itane quis ſtudium ſuum in alterum conferret ob Iovis gratiarum praeſidis atque inſpectoris reverentiam? Cum haec eloqueretur ſitiens, et ſe ad alios converteret, videt ex venenata potione palpitantes extremum ſpiritum efflare. Serpens enim, ut conjicere licebat, ſuo veneno fontem imbuerat. Itaque redemptionis praemium ei, qui ſe conſervaſſet, aquila cum pari ſalute compenſavit. Crates Pergamenus tradit Steſichorum etiam in quodam poemate, in vulgus haudquaquam pervulgato, hujus rei mentionem facere, gravem ſane illum meo judicio et antiquum teſtem citans.

C A P. XXXVIII.

De Avibus, quae in inſulis Caſpii maris naſcantur.

IN maris Caſpii inſulis cum alias aves peculiares naſci ferunt, tum maxime unam ea vi et natura adfectam, ut magnitudine quidem anſeribus eam ſimilem eſſe dicant, imo vero egregium anſerem ſuperet; pedes vero habeat grui perſimiles; dorſo ſit vehementer rubro, ventre viridi, collo albo, et diſſeminatis maculis croceis diſtincto, non minus quam duo cubita longo; capite item tenui et longo, roſtro nigro; et vocem ranis ſimilem mittat.

CAP.

γνώρισε) τοιαύτας ἀποδιδῶς τοῖς σωτῆρσι τὰς χάριτας; ἀλλὰ πῶς ἔτι ταῦτα καλά; πῶς δ' ἂν ἢ ἄλλος σπουδὴν καταθέσθαι θελήσει εἴς τινα αἰδοῖ Διὸς χαρίτων ἐφόρου τε ἢ ἐπόπτου; Καὶ τῷ μὲν ταῦτα εἴρητο, ἢ ἐφρύγετο· ὁρᾷ δὲ ἐπιστραφεὶς τοὺς πιόντας, ἀσπαίροντάς τε ἢ ἀποθνήσκοντας. Ἦν δὲ ἄρα, ὡς συμβαλεῖν, ἐμημεκὼς εἰς τὴν πηγὴν ὁ ὄφις, ἢ κεράσας αὐτὴν τῷ ἰῷ. Ὁ μὲν ἀετὸς τῷ σώσαντι ἀμοιβὴν τῆς ἰσοτίμου σωτηρίας ἀπέδωκε τὸν μισθόν. Λέγει δὲ Κράτης ὁ Περγαμηνὸς ὑπὲρ τούτων καὶ τὸν Στησίχορον ᾄδειν ἔν τινι ποιήματι οὐκ εἰσφοιτήσαντί που εἰς πολλοὺς, σεμνόν τε ἢ ἀρχαῖον, ὥσγε κρίνειν ἐμὲ, τὸν μάρτυρα εἰσάγων.

ΚΕΦ. λή.

Περὶ τῶν ἐν ταῖς Κασπίαις νήσοις γινομένων Ὀρνίθων.

ΕΝ θαλάσσῃ τῆς Κασπίας εἰσὶ νῆσοι, φασὶ, ἢ γίνονται ἐν αὐταῖς ὄρνιθες διάφοροι μὲν ἢ ἄλλοι, εἷς δὲ εἰληχὼς τοιαύτης ἰδιότητος· εἶναι μὲν γὰρ κατὰ τοὺς χῆνας τὸ μέγεθός φασιν αὐτὸν, ἀλλὰ ἢ τὸν εὐγενῆ χῆνα ἢ τοὺς ἄλλους ἰδεῖν ὑπερέχοντα, πόδας δὲ ἔχει ἐμφερεῖς γεράνῳ· ἢ τὰ μὲν νῶτα κοκκοβαφῆ καὶ σφόδρα ἀκράτως, τὰ δὲ ὑπὸ τὴν γαστέρα πράσινα, τὴν δὲ δέρην λευκὴν εἶναι, καί τινας ἢ ῥανίδας οἱονεὶ διασπαρείσας κροκοειδεῖς ἔχειν, μῆκος δὲ εἰληχέναι οὐ μεῖον πηχῶν δύο· κεφαλὴν δὲ ἄρα λεπτήν τε ἅμα ἢ μακρὰν, τὸ ῥάμφος μέλαν, φωνήν τε ἀφιέναι ἐμφερῆ τοῖς βατράχοις.

CAP. XXXIX.
De Simiis in India.

In Prafiana Indorum regione Megafthenes fimias fcribit maximis canibus non inferiores effe magnitudine; quinque cubitorum caudam habere; tum ex earum fronte comas propendere, eafdemque barbam promittere; tum facie alba effe, corpore vero nigro; neque malitia ceteris fimiis ingenita, fed manfuetudine et humanitate imbutas effe.

CAP. XL.
De Culicibus Indicis et Scorpiis, item de Phalangiis Tetragnathis.

Indica regio eft circa Aftaboram fluvium, ubi Rhizophagi habitant. Illic, oriente Sirio, culicum nubes quaedam terribiles, magna vi occupare aërem vifae, fubito fuperventu civitatem quandam infeftarunt. Circa lacum etiam Arrhatan (qui et ipfe in India eft prope fluvium jam dictum) feros iftos culices abundare aiunt, ubi locus defertus et eft et appellatur. Eum accolae et finitimi circumquaque negant ab initio, et perpetuo, habitatoribus caruiffe; fed fcorpiorum copias infeftas fuperveniffe, et nimium phalangiorum exftitiffe proventum, illorum quae Tetragnatha nominant. Hanc beftiolarum diritatem ex corrupta aqua pluvia generatam aiunt; et incolas primum hujus mali impetum aliquandiu magna patientia toleraffe; fed cum illud jam inexpugnabile effet, et paffim omnis aetatis homines interirent, tandem confilii inopia, cum nulla ratione adverfus tantam luem tueri

ΚΕΦ. λθ'.

Περὶ τῶν ἐν Ἰνδοῖς Πιθήκων.

ΕΝ τῇ Πραξιακῇ χώρᾳ, Ἰνδῶν δὲ αὕτη ἐςὶ, Μεγασθένης φησὶ πιθήκους εἶναι τῶν μεγίςων κυνῶν ἐ μείους· ἔχειν δὲ ϗ ἐρὰς πηχῶν έ· προσπεφυκέναι δὲ ἄρα αὐτοῖς ϗ προκόμια, ϗ πώγωνας καθειμένες ϗ βαθεῖς· ϗ τὸ μὲν πρόσωπον πᾶν εἶναι λευκὲς, τὸ σῶμα δὲ μέλανας ἰδεῖν· ἡμέρες δὲ ϗ φιλανθρωποτάτες, ϗ τὸ τοῖς ἀλλαχόθι πιθήκοις συμφυὲς ἐκ ἔχειν τὸ κακόηθες.

ΚΕΦ. μ'.

Περὶ Κωνωπίων Ἰνδῶν ϗ Σκορπίων, ἔτι δὲ ϗ περὶ φαλαγγίων τῶν καλεμένων Τετραγνάθων.

ΕΝ Ἰνδοῖς ἐςι χώρα περὶ τὸν Ἀςαβόραν ποταμὸν ἐν τοῖς καλεμένοις Ῥιζοφάγοις. Κατὰ τὴν τε Σειρίε τοίνυν ἐπιτολὴν κωνώπων νέφη τινὰ ἐκπληκτικὰ, ϗ οἷά τινα τὸν ἀέρα πολλὰ καταλαβεῖν ἐπιφανέντα, εἶτα μέντοι ἐλύπησέ τινα πόλιν. Κατὰ μέντοι τὴν λίμνην τὴν καλεμένην Ἀῤῥάταν (Ἰνδῶν δ' ἄρα ϗ αὕτη πλησίον ἐςὶ τε προειρημένε ποταμε) ϗ τετο μὲν τὸ θηρίον τὸν κώνωπα ἐπιπολάζειν· ἔρημον δὲ ϗ εἶναι τὸν χῶρον ϗ καλεῖσθαι. Τὴν δὲ αἰτίαν ἐκείνην Ἰνδοί φασιν οἱ κύκλῳ περιοικεντες τὸν χῶρον τὸν προειρημένον, ἐκ ἄνωθεν, ἐδὲ ἐξ ἀρχῆς, ἄγονον ἀνθρώπων γενέσθαι· σκορπίες δὲ ἐπιπολάσαι πλῆθος ἄμαχον, ϗ φαλαγγίων τινὰ ἐπιφοιτῆσαι φορὰν, φαλαγγίων δὲ ἃ καλεσι τετράγναθα. Τεκεῖν δ' ἄρα τὰ κακὰ ταῦτά φασιν ὄμβρων πονηρίαν· καί πως μὲν ἐγκαρτερεῖν τὲς ἐκεῖθι τλημόνως τε κακε τὴν προσβολὴν ϗ φιλοπόνως ὑπομείναντας· ἐπεὶ δὲ ἦν παντελῶς ἄμαχον, ϗ διεφθείροντο ἡλικίαι πᾶσαι, εἶτα μέντοι τελευτῶντες ὑπ' ἀπορίας

τε

tueri se possent, deserta regione, gratam prius et optimam patriam reliquerunt solitariam: nec forte peccarim, si eandem μητρίδα appellaverim.

C A P. XLI.

De Muribus, et Ranis, aliisque Animalibus, quae gentes quasdam patriis sedibus expulerunt.

De patriis sedibus quosdam Itâliae populos incursio murium agrestium perniciosa expulit, atque in fugam compulit; quod sane sic segetes et plantas, tanquam summa siccitas, aut teterrimum frigus, aliave intempestiva tempestas vastarent, non modo seminibus et superficie arrosis, sed radicibus quoque succisis. Et alia quaedam animalcula, cum Medicam regionem invasissent, perditis et vastatis frugibus, incolas ad emigrationem adegerunt. Autoriatas Indorum gentem plurimae ranae et imperfectae de coelo lapsae in alium locum demigrare coegerunt. Et quandam nationem Libycam, cujus et supra memini, leones de patria terra depulerunt.

C A P. XLII.

De Formicis in Babylonia.

In Babyloniorum terra formicae nascuntur, quarum genitale membrum retro aversum est, contrario quam in aliis modo.

τȣ̃ ἀμύνεσθαι τὴν καταβολὴν τῆς ἐπιμελείας τῆς προειρημένης, ἐξέλιπον τὴν χώραν, ϗ ἐρήμην εἴασαν τὴν φίλην πρότερον ϗ πατρίδα ἀρίστην· ȣ̓χ ἁμαρτήσομαι δὲ ἴσως ȣ̓δὲ μητρίδα εἰπὼν τὴν αὐτήν.

ΚΕΦ. μά.

Περὶ Μυῶν ϗ Βατράχων, ϗ ἑτέρων Ζώων, τῶν αἰτίων τισὶ μετανατάσεως γενομένων.

ΜΥῶν ἀρȣραίων ἐπιφοίτησις ϗ στόλος, ȣ̓ μὰ τȣ̀ς θεȣ̀ς χρηστὸς, τῶν ἐν Ἰταλίᾳ τινὰς ἐξήλασαν τῆς πατρῴας γῆς, ϗ φυγάδας ἀπέφηναν· λυμαινόμενοι ϗ λήϊα ϗ φυτὰ, δίκην αὐχμῶν, ἢ κρυμῶν, ἤ τινος ἀκαιρίας ὡρῶν ἑτέρας, τὰ μὲν διακείροντες, διακόπτοντες δὲ τὰς ῥίζας. Τῇ Μηδικῇ δὲ ἐπιφοιτήσαντες τῇ φορᾷ, ἐξήλασαν ϗ ἐκεῖνοι τȣ̀ς κατοικȣ̃ντας, διαφθείροντες τὰ σπέρματα, ϗ ἀφανίζοντες αὐτά. Βάτραχοι δὲ ἡμιτελεῖς πολλοὶ πεσόντες ἐξ ἀέρος Αὐτωριάτας Ἰνδῶν μετῴκισαν εἰς χῶρον ἕτερον. Καὶ γένος μέντοι Λιβυστινὸν, ȣ̃ καὶ ἀνωτέρω μνήμην ἐποιησάμην, ἐπιφοιτησάντων αὐτοῖς λεόντων, εἶτα τȣ́τȣς ἀναστῆναι τῆς πατρῴας γῆς ἐξενίκησαν.

ΚΕΦ. μϐ'.

Περὶ Μυρμήκων ἐν τῇ Βαβυλωνίᾳ.

ΕΝ τῇ Βαβυλωνίᾳ γῇ γίνονται μύρμηκες, ϗ ἔχȣσι τὸ παιδοποιὸν σῶμα ἐς τȣ̀πίσω μετεστραμμένον, ἀντίως τοῖς ἄλλοις ϗ ἔμπαλιν.

CAP. XLIII.

De Pantheris Cariae et Lyciae.

PANTHERA in Caria et Lycia non eſt iracunda, neque ſaltu admodum valet; corpus ei oblongum, et quanquam haſtilibus et lanceis vulneretur, reſiſtit tamen, nec facile concedit ferro, juxta illud Homeri:

Quae, quamvis ferro fuerit transfixa, repugnat.

CAP. XLIV.

De Rhinocerote, et quemadmodum pugnat contra Elephantum.

RHINOCEROTIS figuram nimis frivolum eſſet deſcribere, quum permulti ex Graecis et Romanis, qui illum viderunt, ejus formam plane ſciant; at enim vim illius et naturam actionum non alienum eſt exponere. Quod in ſumma nare cornu gerit, cujus mucro acutus exſiſtit, ex eo nomen traxit; neque ipſum illud de robore concedit ferro. Quod quidem ipſum, cum eſt contra elephantum pugnaturus, ſaxis exacuit et limat: cetera non ei paria cum elephanto, utpote qui proceriſſimus eſt, et fortiſſimus; cornu igitur cuſpidato elephanti crura ſubiens alvum diſcerpit, et lacerat; iſque, effuſo ſanguine, decumbit. Pugna autem eorum eſt de paſtionibus, multoſque elephantos ita periiſſe evenit. At ſi alvum non praeoccuparit rhinoceros, ſed inter hunc conatum ab elephanto praeveniantur, illius promuſcide apprehenſus attrahitur, ac retinetur, et dentibus ceu ſecuribus conſcinditur. Tametſi enim ejus pellis ea exſiſtat firmitate, ut aegre jaculo penetrari queat; tamen tam violentus eſt elephanti impetus, ut eam trajiciant.

CAP.

ΚΕΦ. μγ΄.

Περὶ Παρδάλεων Καρικῶν τε ϗ Λυκιακῶν.

Πάρδαλις Καρικὴ ϗ Λυκιακὴ οὐκ ἔστι μὲν θυμική, οὐδὲ οἷα σφόδρα ἀλτικὴ εἶναι, τὸ σῶμα δὲ μακρά· τιτρωσκομένη δὲ ϗ δόρασι ϗ αἰχμαῖς ἀντίτυπός ἐστι, ϗ οὐ ῥᾳδίως τῷ σιδήρῳ εἴκει, τοῦτο δὴ τὸ Ὁμηρικὸν δρῶσα·

Ἦ ῥά γε ϗ περὶ δουρὶ πεπαρμένη οὐκ ἀπολήγει.

ΚΕΦ. μδ΄.

Περὶ Ῥινοκέρωτος, ϗ ὡς ἀγωνίζεται πρὸς Ἐλέφαντα.

Ῥινοκέρωτος εἶδος γράφειν τρισέωλόν ἐστιν, ἴσασι γὰρ ϗ Ἑλλήνων πολλοὶ ϗ Ῥωμαίων οἱ τεθεαμένοι· τὰ δὲ ἴδια αὐτοῦ κατὰ τὸν βίον εἰπεῖν οὐ χεῖρόν ἐστιν. Ἐπ᾽ ἄκρας τῆς ῥινὸς τὸ κέρας φέρει, ἔνθεν τοι κέκληται· ϗ ἔστι μὲν ὀξύτατον ἐπ᾽ ἄκρου, σιδήρῳ δὲ τὸ καρτερὸν αὐτοῦ προσείκασται. Ταῖς πέτραις γε μὴν αὐτὸ παρατρίβων, εἶτα ἐπιθήσει ἐλέφαντι ὁμόσε ἰών· τὰ δὲ ἄλλα οὐκ ὢν ἀξιόμαχος, διά τε τὸ ἐκείνου ὕψος, ϗ τὴν ῥώμην τὴν τοῦ θηρὸς τὴν τοσαύτην· ὕπεισιν οὖν αὐτοῦ τὰ σκέλη ϗ τὴν νηδὺν ὑποτέμνει τε, ϗ ὑποσχίζει τῷ κέρατι· ὁ δὲ οὐ μετὰ μικρὸν ἐκρυέντος οἱ τοῦ αἵματος κατολισθαίνει. Μάχη δὲ ῥινοκέρωτος πρὸς ἐλέφαντα ὑπὲρ τῆς νομῆς ἐστι, ϗ πολλοῖς ἐλέφασιν ἐντυχεῖν ἐστι τεθνεῶσι τοῦτον τὸν τρόπον. Ἂν δὲ μὴ φθάσῃ ὁ ῥινόκερως δράσας τοῦτο, ἀλλὰ ὑποτρέχων πως ὑποπεσόντος πιεσθῇ, περιβαλλόμενος τὴν προβοσκίδα ϗ κατέχει, ϗ πρὸς ἑαυτὸν ἕλκει, ἐμπίπτων τοῖς κέρασι κατακόπτει ὡς πελέκυσιν. Εἰ γὰρ ϗ φορίνην ὁ ῥινόκερως ἔχει στερεάν, ϗ δυσδιακόντιστον, ἀλλ᾽ ἡ βία τοῦ ἐμπίπτοντος μάλα καρτερά.

CAP. XLV.

De Tauris Aethiopicis, et quemadmodum capiantur.

TAVRI Aethiopici, qui carnivori nominantur, animalium ferociſſimi ſunt; et ſi cum Graecorum bobus conferantur, duplam habent magnitudinem, ac velocitate corporis excellunt: tum rufis pilis veſtiuntur, tum caeſiis ſunt oculis, idque magis quam leones. Et alias quemadmodum aures, ſic cornua mobilia habent; at in pugna ea ita exſerunt, ut, poſtquam prae ira erecta ſunt, flecti nequeant. Ejus etiam tergora tanto robore ſunt, ut nullis neque ſpiculis, neque telis penetrari poſſint; inhorreſcens enim taurus cutis rigore ferrum elidit. In equorum et boum armenta, et pecorum greges, et feras omneis invadunt. Itaque paſtores, ad tuendum ſuum pecus occultas foveas in magnam altitudinem depreſſas machinantes, moliuntur eis inſidias. Hi cum inciderunt, atroci animi excandeſcentia ſuffocantur. Iudicatur autem apud Troglodytas jure praeſtantiſſimum hoc animal; ut quod viribus praeditum ſit leonis, velocitate equi, robore tauri, et ferro ſit impenetrabile.

CAP. XLVI.

De Gallinaceo genere, cujus meminit Mnaſeas.

MNASEAS in libro De Europa ſcribit eſſe templum quoddam Herculis et uxoris ejus, quam ceu Iunonis filiam poetae celebrant. In hujus templi conſepto cicures aves multas nutriri ait, nempe gallos et gallinas. Compaſcuntur autem, et gregatim

ΚΕΦ. μέ.

Περὶ ταύρων Αἰθιοπικῶν, καὶ ὅπως θηρῶνται.

Ἀγριώτατον δὲ ἄρα ἦσαν τῶν ζώων οἱ τῶν Αἰθιόπων ταῦροι, καὶ καλούμενοι σαρκοφάγοι· καί εἰσι μὲν τὸ μέγεθος τοῖς παρὰ τοῖς Ἕλλησι διπλασίους, ὤκιστοι δὲ τὸ τάχος· εἰσὶ πυῤῥότριχες, γλαυκοὶ τοὺς ὀφθαλμοὺς, καὶ ὑπὲρ τοὺς λέοντας οὕτως. Τὰ κέρατα δὲ τὸν μὲν ἄλλον χρόνον κινοῦσιν, ὡς καὶ τὰ ὦτα· ἐν δὲ ταῖς μάχαις σπείρουσιν αὐτὰ, καὶ ἀναστήσαντες αὐτοὺς ἰσχυρῶς εἶτα οὐ μάχονται, τὰ δὲ οὐ κλίνονται ὑπὸ τοῦ θυμοῦ ἀνεστῶτα, φύσει ναὶ μὰ Δία θαυμαστῇ. Ἄτρωτοι δέ εἰσι καὶ λόγχαις καὶ βέλει παντὶ, ὁ γάρ τοι σίδηρος οὐκ εἰσδύεται· ὁ γὰρ ταῦρος φρίξας ἐκβάλλει αὐτὸν μάτην προσπεσόντα. Ἐπιτίθεται δὲ καὶ ἵππων ἀγέλαις, καὶ ποίμναις, καὶ θηρίων ἄλλων. Οἱ τοίνυν νομεῖς ἐπαρκεῖν ταῖς ἑαυτῶν ἀγέλαις βουλόμενοι, τάφρους αὐταῖς κρυπτὰς ἐργάζονται βαθείας, καὶ ταύταις αὐτοὺς ἐλλοχῶσιν. Οἱ δὲ ὅταν ἐμπέσωσιν, ὑπὸ τοῦ θυμοῦ ἀποπνίγονται. Κέκριται δὲ παρὰ τοῖς Τρωγλοδύταις δικαίως ἄριστον τοῦτο τὸ ζῶον· ἔχει μὲν γὰρ λέοντος τὴν ἀλκὴν, τὴν δὲ ὠκύτητα ἵππου, ῥώμην ταύρου, σιδήρου δὲ κρεῖττόν ἐστι.

ΚΕΦ. μς'.

Περὶ Ἀλεκτρυόνων τε καὶ Ἀλεκτορίδων, ὧν μέμνηται Μνασέας.

Λέγει ὁ Μνασέας ἐν τῇ Εὐρώπῃ Διὸς, Ἱερακλέους ἱερὸν εἶναι καὶ τῆς τούτου γαμετῆς, ἣν ᾄδουσιν οἱ ποιηταὶ τῆς Ἥρας θυγατέρα. Οὐκοῦν ἐν τῷ τοῦ νεὼ περιβόλῳ τιθασσοὺς ὄρνιθας πολλοὺς τρέφεσθαί φησι, καὶ τοῦτο δὲ εἶναι ἀλεκτρυόνας τε καὶ ἀλεκτορίδας τούσδε τοὺς ὄρνις. Νέμονται δὲ, καὶ συναγελά-

gregatim pro ſui generis ſexu degunt, et ſumptu aluntur publico, diis, quos diximus, conſecrati. Gallinae in aede Hebes, gallinacei in Herculis paſcuntur. Fluit autem in medio rivus perennis et limpidae aquae. Gallinarum igitur nulla ad Herculis templum accedit; at ſuo tempore mares ſtimulati libidine rivum tranſvolant, et poſtquam impleverint feminas, ad deum ſuum et ſuas redeunt ſedes, luſtrati purgatique interfluente rivo, quo ſexus uterque diſpeſcitur. Nati igitur, ut conſentaneum eſt, ovis gallinae incubant, pulloſque excludunt; ac mares genitoribus, feminae novellae matribus accedunt et aluntur.

EPI-

ζονταί σφισι κατὰ γένος, καὶ δημοσίας ἔχουσι τροφὰς, καὶ τῶν θεῶν ἀναθήματά εἰσι τῶν προειρημένων. Αἱ μὲν οὖν ἀλεκτορίδες ἐν τῷ τῆς Ἥρας νέμονται νεῷ, οἱ δὲ ἐν Ἱερακλέους οἱ τῶνδε γαμέται. Ὀχετὸς δὲ ἄρα ἀεννάου τε καὶ καθαροῦ ὕδατος διαῤῥεῖ μέσος. Θῆλυς μὲν οὖν οὐδὲ εἷς εἰς Ἡρακλέους πάρεισιν· οἱ δὲ ἄῤῥενες, ὅταν ᾖ καιρὸς ὑποθόρνυσθαι, ὑπερπέτονται τὸν ὀχετόν· εἶτα ὁμιλήσαντες ταῖς θηλείαις ἐπανίασιν εἰς τὰ σφέτερα αὖθις περὶ τὸν θεὸν, ᾧ λατρεύουσι, καθηράμενοι τῷ διείργοντι τὰ γένη τῶν ὀρνίθων ὕδατι. Τίκτεται οὖν, οἷα εἰκὸς, πρῶτα ἐκ τῆς ὁμιλίας ᾠά· εἶτα ὅταν αὐτὰ θάλψωσι καὶ ἐκλέψωσι τοὺς νεοττοὺς αἱ μητέρες, τοὺς υἱεῖς οἱ ἄῤῥενες παρ' ἑαυτοὺς ἄγουσι καὶ ἐκτρέφουσι, αἱ δὲ ὄρνις κἀκείναις ἐστὶ τρέφειν τὰς θυγατέρας.

EPILOGVS AVCTORIS,

Quo rationem reddit sui in describenda animalium natura collocati studii.

DIXI hactenus, quantumcunque studio, cura, labore, ingenio, et aemulatione quadam honestorum et eruditorum hominum, qui ante me hoc argumentum veluti certatim excoluerunt, diligentiam superandi, indagare ac invenire potui; et ne quid eorum, quae adsecutus eram, omitterem, operam dedi: nam sapientiae amor, quo nihil ingenio hominis liberalis cognatum aut familiare magis est, omni pigritia excussa, animantium etiam brutarum mutarumque contemplationem ne aut contemnerem, aut negligerem, me excitavit. Non equidem ignoro homines tum avaros et pecuniae mancipatos, tum ambitiosos, et gloriae potentiaeque cupidos omnes, hoc mihi vitio daturos, quod in hujusmodi rebus tempus et otium meum occupare voluerim; cum ad multo majora adspirare, gravitatem auctoritatemque apud hominum vulgus mihi comparare, ac inter potentes in aulis principum viros censeri, denique magnas divitias mihi conquirere licuisset. Ego vero ingenium vulpis, naturam ac vim lacerti, scarabaei, serpentis, et leonis, quid agat panthera, quae pietas commendet ciconiam, quam suaviter arguteque suos meditetur et edat cantus luscinia, quam ingeniosus sit elephas, item piscium genera, et gruum migrationes, et draconum naturas, et reliqua, quae hoc volumine comprehensa observavi, indagare malui; copiosis et locupletibus hominum adnumerari, et ex illorum ordine censeri, non libet. Quod si de numero hominum naturae studiosorum, inter quos et poetae sunt eruditi, et philosophi ingeniosi, et alii scriptores rerum naturalium experientia clari, etiam ipse unus esse cupio, et enitor; multo sane honestiore loco, et dignitate majori, quam pro illorum judicio, futurum

ΕΠΙΛΟΓΟΣ

Ὑπὲρ τῆς εἰς ταῦτα σπουδῆς τοῦ φιλοσοφήσαντος.

ΟΣΑ μὲν οὖν σπουδῇ τῇ ἐμῇ καὶ φροντὶς, καὶ πόνος, καὶ ἐς τὸ πλεῖον μαθεῖν καὶ ἐν τοῖσδε ἡ γνώμη προχωροῦσα, ἀνίχνευσέ τε καὶ ἀνεῦρε, δοκίμων δὲ ἀνδρῶν καὶ φιλοσόφων ἀγώνισμα θεμένων τοῖς ἐπ' αὐτοῖς ἐμπειρίαν, καὶ δὴ λέλεκταί μοι, ὡς οἷόν τε ἦν εἰπεῖν· μὴ περιλιπόντα ἅπερ ἔγνων, μὴ βλακεύοντα, ὡς ἀλόγου τε καὶ ἀφάνους ἀγέλης ὑπεριδόντα, καὶ ἀτιμάσαντα, ἀλλὰ κἀνταῦθα ἔρως με σοφίας ὁ σύνοικός τε καὶ ὁ συμφυὴς ἐξέκαυσεν. Οὐκ ἀγνοῶ δὲ ἄρα, ὅτι καὶ τῶν εἰς χρήματα ὁρώντων ὀξὺ, καὶ τεθηγμένων ἐς τιμάς τε καὶ δυνάμεις τινὲς, καὶ πᾶν τὸ φιλόδοξον, δι' αἰτίας ἕξουσιν, εἰ τὴν ἐμαυτοῦ σχολὴν κατεθέμην καὶ εἰς ταῦτα· ἐξὸν καὶ ὀφρυοῦσθαι, καὶ ἐν ταῖς αὐλαῖς ἐξετάζεσθαι, καὶ ἐπὶ μέγα προήκειν τοῦ πλούτου. Ἐγὼ δὲ ὑπέρ τε ἀλωπέκων, καὶ σαυρῶν, καὶ κανθάρων, καὶ ὄφεων, καὶ λεόντων, καὶ τί δρᾷ πάρδαλις, καὶ ὅπως πελαργὸς φιλόστοργον, καὶ τί ἀηδὼν εὔστομον, καὶ πῶς φιλόσοφον ἐλέφας, καὶ εἴδη ἰχθύων, καὶ γεράνων ἀποδημίας, καὶ δρακόντων φύσεις, καὶ τὰ λοιπὰ, ὅσα ἥδε ἡ συγγραφὴ πεπονημένως ἔχει, καὶ φυλάττει, περιέρχομαι· ἀλλ' οὐ μοι φίλον σὺν τοῖσδε τοῖς πλουσίοις ἀριθμεῖσθαι, καὶ πρὸς ἐκείνους ἐξετάζεσθαι. Εἰ δὲ ὧν καὶ ποιηταὶ σοφοὶ, καὶ ἄνδρες φύσεως ἰδεῖν τε ἅμα καὶ κατασκέψασθαι δεινοὶ, καὶ συγγραφεῖς ἐκ πείρας ἐς τὸ μήκιστον προελθόντες ἑαυτοὺς ἠξίωσαν, τούτων τοι καὶ ἐμαυτὸν ἁμωσγέπως ἕνα πειρῶμαι ἀριθμεῖν καὶ ἐθέλω· δῆλον ὡς ἀμείνων ἐμαυτῷ σύμβουλός εἰμι

τῆς

turum me confido. Ita enim ſentio, ut vel unam alicujus egregiae diſciplinae portiunculam potius, quam celeberrimas ditiſſimorum quorumvis opes atque poſſeſſiones, mihi accedere optarim. Haec de ſtudiis meis et animi inſtituto hactenus. Iam porro reprehenſum hoc iri a nonnullis non dubito, quod non de ſingulis animalium, quae dici poterant, omnia unum in locum collecta conjunxerim, neque ſeparatim ſingulorum proprietates in unum locum congeſſerim; ſed mixta narratione varias variorum animalium proprietates enarraverim, de multis etiam per ſingulas partes diſſerens; ita ut alicubi ab hoc vel illo animante digreſſus, rurſus alibi ad idem redierim, et alia quaedam ſuper ejus natura attulerim. His reſpondeo, primum me hominem eſſe meae ſpontis, nec ab alieno arbitrio aut conſilio pendere. Deinde, voluiſſe me varietate argumenti lectorem allicere, et taedium, quod ex earundem aut ſimilium rerum narratione oboritur, evitare; atque ideo e diverſis animantibus per intervalla digeſtis veluti floribus hoc volumen, ceu ſertum quoddam aut corollam elegantem et multicolorem, concinnandum mihi contexendumque propoſuiſſe. Quod ſi venationis ſtudioſi homines, vel una quapiam fera deprehenſa, ſibi gratulantur, et lucrum exiſtimant: multo magis tantae animalium multitudinis non veſtigia inveniſſe, non corpora cepiſſe; ſed facultates illas, quibus natura eas dignata eſt, inveſtigaſſe, rem longe pulcherrimam et praeclaram eſſe dixerim. Nihil huc fecerint Cephali, et Hippolyti, aut ſi qui alii ferarum in montibus venationes egregie exercuerunt. Nihil rei piſcatoriae etiam peritiſſimi, ut Metrodorus Byzantius, aut filius ejus Leonides, aut Demoſtratus, aut alii piſcatores, quales profecto non pauci fuerunt. Nihil eximii pictores, etſi quidam illorum magnam ſibi ſua arte gloriam pepererunt; nam artificioſa equi pictura Aglaophontem nobilitavit, et Apellem hinnulus, Myronem vero ſtatuarium vacca ceu bucula ex aere facta, et alios alia opera. Nam ſi unus aliquis non unius, non paucorum, ſed majoris, quae natura produxit, partis animalium mores, formam,

τῆς ἐξ ἐκείνων κρίσεως. Βουλοίμην γὰρ ἂν μάθημα ἓν γοῦν πεπαιδευμένον περιγενέσθαι μοι, ἢ τὰ ᾀδόμενα τῶν πάνυ πλουσίων χρήματά τε ἅμα καὶ κτήματα. Καὶ ὑπὲρ μὲν τούτων ἱκανὰ νῦν. Οἶδα δὲ, ὅτι καὶ ἐκεῖνα οὐκ ἐπαινέσουσί τινες, εἰ μὴ καθ' ἕκαστον τῶν ζώων ἀπέκρινά μοι τὸν λόγον, μηδὲ ἰδίᾳ τὰ ἑκάστων εἶπον ἀθρόα· ἀνέμιξα δὲ καὶ τὰ ποικίλα ποικίλως, καὶ ὑπὲρ πολλῶν διεξῆλθον· καὶ πῇ μὲν ἀπέλιπον τὸν περὶ τῶνδε λόγον τῶν ζώων, πῇ δὲ ὑπέστρεψα ὑπὲρ τῆς αὐτῶν φύσεως ἕτερα εἴρων. Ἐγὼ δὲ πρῶτον μὲν, τὸ ἐμὸν ἴδιον, οὐκ εἰμὶ τῆς ἄλλου κρίσεώς τε καὶ βουλήσεως δοῦλος, οὐδέ φημι δεῖν ἕπεσθαι ἑτέρῳ, ὅπη μ' ἂν ἀπάγῃ. Δεύτερον δὲ τῷ ποικίλῳ τῆς ἀναγνώσεως τὸ ἐφολκὸν θηρῶν, καὶ τὴν ἐκ τῶν ὁμοίων βδελυγμίαν ἀποδιδράσκων, οἱονεὶ λειμῶνά τινα ἢ στέφανον ὡραῖον ἐκ τῆς πολυχροίας, ὡς ἀνθοφόρων τῶν ζώων τῶν πολλῶν, ᾠήθην δεῖν τήνδε ὑφᾶναί τε καὶ διαπλέξαι τὴν συγγραφήν. Εἰ δὲ τοῖς θηρατικοῖς καὶ ἓν ζῶον εὑρεῖν δοκεῖ πως εὐερμία· ἀλλὰ τό γε τῶν τοσούτων οὐ τὰ ἴχνη, οὐδὲ τὰ μέλη συλλαβεῖν, ἐγώ φημι γενναῖον, ὁπόσα ἡ φύσις ἔδωκέ τε αὐτοῖς, καὶ ὅσων ἠξίωσεν, ἀνιχνεῦσαι. Τί πρὸς ταῦτα Κέφαλοί τε, καὶ Ἱππόλυτοι, καὶ εἴ τις ἐν ὀρείαις ἄγραις θηρία μετελθεῖν δεινὸς ἕτερος· ἢ αὖ πάλιν τῶν ὑδροθηριῶν οἶδεν, ὡς ἢ Μητρόδωρος ὁ Βυζάντιος, ἢ Λεωνίδης ὁ τούτου παῖς, ἢ Δημόστρατος, ἢ ἄλλοι τινὲς θηραταὶ ἰχθύων οἱ δεινότατοι, πολλοὶ ναὶ μὰ Δία; Καὶ γραφικοὶ δὲ ἄνδρες, μέγα αὐτοὺς φρονεῖν ἀνέπειθεν, ἢ ἵππος γραφεὶς κάλλιστα, ὡς Ἀγλαοφῶντα· ἢ νεβρὸς, ὡς Ἀπελλῆν· ἢ τὸ πλασθὲν βοΐδιον, ὡς Μύρωνα· ἢ ἄλλό τι. Εἰ δὲ εἰς τὰ τῶν τοσούτων ἐκδεικνύοι, καὶ ὑπ' αὐγὰς ἄγοι, καὶ ἤθη, καὶ πλάσεις, καὶ σοφίαν, καὶ ἀγχίνοιαν,

nam, ingenium, induſtriam, juſtitiam, temperantiam, fortitudinem, adfectum et amorem innatum erga ſuos, ac pietatem, veluti venando indagandoque deprehenderit; maxima medius fidius admiratione dignus fuerit. Hic vero res ipſa et inſtitutum ſermonis me admonet, ut aegre feram et indoleſcam brutorum animalium pietatem commendari, in hominibus vero taxari impietatem. Sed hac de re in praeſentia non dicam plura; hoc tantum, ut par eſt, monebo lectorem, cujus ab initio quoque hujus ſcripti mentionem feci, non mereri me reprehenſionem, ſi eadem fere, quae omnes vel plerique, ſcripſerim: nova enim animalia creare non potui; eorum vero, quae natura produxit, permulta mihi cognita eſſe deſcribendo oſtendi. Inter cetera autem peculiaria quaedam, aliis hactenus in eadem hiſtoria verſatis indicta, protuli; et cum in aliis, tum in his quoque, veritatem me maximi facere declaravi. Ceterum de diligentia mea, et cura ſtyli, hoc eſt, elocutione, compoſitione, et vocabulorum totiuſque dictionis proprietate ac honeſtate, judicium penes illos eſto, quos judices ac cenſores minime iniquos nactus fuero.

FINIS.

ϗ δικαιοσύνην, ϗ σωφροσύνην, ϗ ἀνδρείαν, ϗ στοργὴν, ϗ εὐσέβειαν θηράσας· πῶς οὐκ ἤδη ϗ θαυμάσαι ἄξιος; Ἥκων δὲ ἐνταυθοῖ τοῦ λόγου ϗ πάνυ ἄχθομαι, εἰ ζώων μὲν εὐσέβειαν ἀλόγων ᾄδομεν, ἀνθρώπων δὲ εὐσέβειαν ἐλέγχομεν. Καὶ τοῦτο μὲν οὐκ ἐνταῦθα ἀποδείξομεν· ἐκεῖνο δὲ προσέτι εἰπεῖν δικαιότατον, ὅπερ οὖν ϗ ἐναρχόμενος τῶνδε τῶν λόγων μνήμην ἐποιησάμην, εἰ ταῦτα εἶπον, ὅσα πάντες, ἢ οἵγε πλεῖστοι, οὔπω δίκαιον αἰτιᾶσθαι· ζῶα γὰρ αὐτὸς ἄλλα πλάσαι οὐκ ἐδυνάμην· ὅτι δὲ ἔγνων πολλὰ, ἐπεδειξάμην. Ἤδη μέντοι ϗ εἶπόν τινα, ὧν οὐκ ἄλλος εἶπε διά γε τῆς πείρας τῆσδε αὐτὸς ἐλθών· φίλη δὲ ἡ ἀλήθειά μοι, τῇ τε ἄλλῃ, ϗ ἐνταῦθα οὐχ ἥκιστα. Ὅπως δὲ αὐτὰ εἶπον, ϗ σὺν ὅσῳ πόνῳ, τό,τε εὐγενὲς τῆς λέξεως, ὁποῖον ϗ τῆς συνθήκης, τῶν τε ὀνομάτων ϗ τῶν ῥημάτων τὸ κάλλος, ὁπόσοις ἂν μὴ χρήσωμαι πονηροῖς κριταῖς, ἐκεῖνοι εἴσονται.

ΤΕΛΟΣ.

ERRATA

in ſeptem poſterioribus libris ſic emendentur.

Pag.	Lin.	Lege	Pag.	Lin.	Lege
652.	3.	loligo	855.	17.	καταπνέωσι
716.	7.	Taenarium	867.	21.	συνεχὲς
771.	27.	*dele* μὴν	879.	24.	διαξαίνεσθαι
802.	14.	conglaciante	885.	18.	δὲ γένη
818.	21.	iidem	891.	10.	κυνῶν
837.	11.	ἴδ᾽ ἂν	907.	15.	ἀπηγλημένες
841.	24.	Ἑλένην	936.	9.	fovetur

ANIMADVERSIONES

CONRADI GESNERI,

DANIELIS WILHELMI TRILLERI,

ET

ABRAHAMI GRONOVII,

IN

AELIANI

LIBROS XVII.

DE

NATVRA ANIMALIVM.

ANIMADVERSIONES CONRADI GESNERI, DANIELIS WILHELMI TRILLERI, ET ABRAHAMI GRONOVII, IN AELIANI LIBROS XVII. DE NATVRA ANIMALIVM.

ΑΙΛΙΑΝΟΥ ΠΕΡΙ ΖΩΩΝ ΙΔΙΟΤΗΤΟΣ.] Gesnerus Suidam secutus ediderat: ΚΛΑΥΔΙΟΥ ΑΙΛΙΑΝΟΥ ΤΟΥ ΑΠΟ ΠΡΑΙΝΕΣΤΟΥ ΤΗΣ ΙΤΑΛΙΑΣ ΠΕΡΙ ΖΩΩΝ ΙΔΙΟΤΗΤΟΣ.

PRAEF. καὶ ὅπως ἐσπουδάσθη οὐ μεῖον τῶν ἀνθρώπων [ἕκαστον] τῶν ἀλόγων ζώων,] Τὸ ἕκαστον Gesneri est, non Aeliani. In Mediceo legitur, οὐ μεῖον τῶν ἀνθρώπων καὶ τῶν. Hinc putem Aelianum scripsisse, καὶ ὅπως ἐσπουδάσθη οὐ μεῖον τῶν ἀνθρώπων τὰ τῶν ἀλόγων ζώων.

LIBER I.

CAP. I. ἐρωδιοὺς] *Diomedeas aves* vocat Plinius lib. x. cap. 44. Ovidius lib. xiv. Metamorph. ℣ 508. de iisdem canit:

Si volucrum quae sit subitarum forma requiris,
Ut non cycnorum, sic albis proxima cycnis.

Confer Lycophronem Alexandra ℣ 595. et Philen Carm. v.

ἐπὶ ξενία κληθέντες.] Lege ἐπὶ ξένια. Infra lib. ii. cap 1. εἶτα ἄκλητοι ξενίων μεταλαγχάνουσιν. Theophrastus Charact. cap. 11. καὶ (βδελυρὸς) ἀπὸ τῶν ξενίων τὸ μέρος τὸ αὐτοῦ ἀπαιτήσας ἀποδόσθαι.

οὗτοι Διομήδους ἑταῖροι] Vide Strabonem lib. vi. pag. 435. Auctorem libelli Περὶ θαυμασίων ἀκουσμάτων pag. 722. Antoninum Liberalem cap. 37. Antigonum Caryſtium cap. 189. Servium ad Virgilium lib. xi. Aeneid. ℣ 270. Stephanum Byzant. in Διομήδεια. Tzetzen ad Lycophronem Alex. ℣ 603.

Cap. II. ἐπιτίθενται οἱ τὸν τρόπον τοῦτον.] Plinius lib. xxxii. cap. 11. Oppianus lib. iv. Ἁλιευτ. ℣ 40.

Cap. III. Ὁ ἰχθὺς ὁ κέφαλος] Athenaeus lib. vii. cap. 16. Εὐθύδημος δὲ ὁ Ἀθηναῖος ἐν τῷ Περὶ ταρίχων, εἴδη κεστρέων εἶναι σφηνέα, καὶ δακτυλέα, καὶ κεφάλους μὲν λέγεσθαι, διὰ τὸ βαρυτέραν τὴν κεφαλὴν ἔχειν. Oppianus lib. iii. Ἁλιευτ. ℣ 523. Philes Carm. lxxv.

διὰ τῆς οὐρᾶς κινῆσαι.] Mſ. cl. Bardonii, τῇ οὐρᾷ κινῆσαι.

Cap. IV. ὥσπερ ἀνθίας] Oppianus lib. iii. Ἁλιευτ. ℣ 324. Tzetzes Chil. iv. 126. ℣ 135.

προσίασι γοῦν,] Ovidius Halieut. ℣ 9. Plinius lib. xxxii. cap. 2. Plutarchus in libello Πότερα τῶν ζώων φρονιμώτερα p. 977. Philes Carm. lxxiv.

Cap. V. Ὁ ἰχθὺς ὁ τρώκτης·] Philes Carm. lxxiii. Euſtathius ad Homerum, Odyſſ. Ξ. pag. 1757. Τὸν δ᾽ αὐτὸν φοίνικα καὶ ὁμωνύμως ἰχθύϊ τῷ παρὰ Αἰλιανῷ τρώκτην καλεῖ, ὅ ἐστι φάγον, φιλοκέρδη, φιλάργυρον, ἐκ παντὸς ἐθέλοντα τρώγειν, ὅ ἐστι κερδαίνειν· κατὰ τοὺς παλαιοὺς δὲ καὶ ἀπατεῶνα, παραλογιστήν. Adde Ariſtotelem lib. ix. Hiſt. Anim. cap. 37. pag. 437. Oppianum lib. iii. Ἁλιευτ. ℣ 144.

Cap. VI. οἱ δὲ οὐ κιώα, ἀλλὰ κελόν·] Infra lib. v. cap. 29. καὶ ἐν Χίῳ Γλαύκης τῆς κιθαρῳδοῦ ὡραιοτάτης οὔσης, εἰ μὲν ἥρων ἄνθρωποι, τοῦτο μέγα οὐδέπω· ἠράσθησαν δὲ καὶ κελός, καὶ χήν, ὡς ἀκούω, τῆς αὐτῆς. Et viii. 11. εἰ δὲ Γλαύκης τῆς κιθαρῳδοῦ κελὸς ἥττητο, καὶ Πτολεμαίῳ γε τῷ Φιλαδέλφῳ ἀντήρα. Item lib. ix. Var. Hiſt. cap. 39. Γλαύκης δὲ τῆς κιθαρῳδοῦ οἱ μέν φασιν ἐρασθῆναι κιώα, οἱ δὲ κελόν, οἱ δὲ χῆνα.

ἄλλου δὲ ὡραίου] Doctiſſimus Kuhnius in notis ad V. H. loc. laud. malebat ἀλλ᾽ οὐδὲ ὡραίου, quam conjecturam recte refellit cl. Perizonius; ſiquidem ipſe auctor vulgatam ſcripturam tueatur infra lib. xii. cap. 37. ἠράσθη δὲ ἄρα καὶ κολοιὸς ὡραίου παιδός.

Cap. VII. τὰ θῶα] Philes Carm. l. Adde Ritterſhuſium ad Oppianum, lib. iii. Κυνηγ. ℣ 336. et Bochartum P. 1. Hieroz. lib. iii. cap. 12.

περιτύχῃ] mſ. cl. Bardonii, περιτυγχάνει.

Cap. VIII. ἐπὶ τὸ πάθος,] Quanquam τὸ πάθος hic optime locum habere poſſit, ſicuti infra lib. ii. cap. 10. in fine, καὶ Σοφοκλῆς δὲ ἔοικε μεμνῆσθαι τοῦ πάθους, et alibi; mallem tamen hic legere βάθος, unica mutata littera homogenea, ita ut ad camini profunditatem, in quam delapſus narratur Nicias, reſpiceretur. Triller.

Cap. IX. Ὁ κηφὴν ὁ ἐν μελίτταις γινόμενος,] Plinius lib. xi. cap. 11 et 16. Philes Carm. xxviii.

ἐν τοῖς θεργκίοις] Al. ἐν τοῖς ἀθερηνίοις. Gesner. Codex Mediceus et mſ. cl. Bardonii, ἐν τοῖς ἀνθρηνίοις: quam vocem conjectura adſecutus fuit cl. Pauwius in notis ad Philen v. 7. Heſychius, Ἀνθρήνιον, τὸ τῶν μελισσῶν πλάσμα. Vide Suidam in Ἀνθρήνη.

λυμαίνεται τοὺς ζίμβλους.] Iidem mſs. λυμαίνεται τοῖς ζίμβλοις, ut cap. ſeq. οὐ γὰρ λυμαίνονται τοῖς κηρίοις. Suidas, Λυμαινόμενον τοῖς μελιττικίοις, ἀντὶ τοῦ, Μελίττια ἐνυβρίζοντα· οὕτω δὲ αὐτοῖς

[leg.

[leg. Ἀττικοῖς] συνηθές· οὐχὶ, Τὰ μειράκια λυμαινόμενον. Alibi tamen quartum casum huic verbo junxit auctor, ut lib. x. cap. 16. λυμαίνονται γὰρ τὰ λήϊα.

καὶ κηρωτίζων ἐκεῖνον τὸν θησαυρὸν τῶν μελιττῶν] Iidem mss. ἐκεῖνος.

οὐδ' ὡς εἰς φυγὴν τρέψαι,] τρέψουσαι. GESNER. Iidem mss. οὐδ' ὅσον εἰς φυγὴν τρέψαι. Infra lib. xiii. cap. 1. οὐκ ἀτιμασάντων τῶν θεῶν, ὅσον οὐ διὰ τῶν ἀλόγων τῷ μὲν τὴν βασιλείαν προδηλῶσαι. Et lib. iii. Var. Hist. cap. 9. ἀλλ' ἐκεῖνοι μὲν ἐξ ἑνὸς περιειλημμένοι δαίμονος εὖ καὶ καλῶς ἀγωνίζονται τοσοῦτον, ὅσον ἐνθυσιᾷν αὐτοὺς ἅπαξ. Et xiii. 1. ὕδατά τε διατελῆ καὶ εἰσρέοντα, καὶ καθαρὰ ἰδεῖν, καὶ ψυχρὰ, ὅσον τε ἁψαμένῳ τεκμήρασθαι, καταγνῶναι πιόντι, χύδην καὶ ἀφθόνως ἐπέρρει.

CAP. X. Εἰσὶ δέ τινες] Philes Carm. xxix. Aristoteles lib. ix. Hist. Anim. cap. xl. pag. 445. Antigonus Carystius cap. 58.

Ἀργαὶ μέλιτται,] Uterque ms. Ἀργοὶ μέλιττοι. Ἀττικῶς.

Οἱ μὲν γὰρ αὐτῶν] Mediceus, Αἱ μὲν γὰρ αὐτῶν.

καὶ οὐκ ἀνέχονται νεκρὸν] Virgilius lib. iv. Georg. ℣ 255.

> *tum corpora luce carentum*
> *Exportant tectis, et tristia funera*
> *ducunt.*

Ἀλλὰ καὶ νύκτωρ φρουρῶσιν,] Gyllius legit, ἄλλαι δὲ νύκτωρ φρουροῦσιν. GESNER. Cum Gyllio consentit Philes v. 15.

> Ἄλλη δέ τις ἄγρυπνον εἰσφέρει πόνον
> Τῇ τῆς φυλακῆς ἀκριβεῖ παραστάσει.

CAP. XI. Μελιττῶν δὲ ἡλικίαν] Plinius lib. xi. cap. 10.

Αἱ δὲ πρεσβύτεραι τραχεῖαι] Aristoteles lib. ix. Hist. Anim. cap. 40. pag. 444. et seqq.

ἅψασθαι] Ms. cl. Bardonii, προσψαῦσαι.

ῥυσαὶ] Idem, ῥυσσαί.

ὑετὸν καὶ κρύους ἐπιδημίαν] Mediceus, ὑετῶν.

